UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Ekklēsiastēs Solomōntos Emmetrōs Metaphrastheis

Dolscius, Paul

Lipsiæ, 1559

VD16 B 3639

urn:nbn:de:hbz:466:1-69711

Visual Library

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Th. 5854.

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# ΕΚΚΛΗΣΙΑ-
# ΣΤΗΣ ΣΟΛΟΜΩΝ-
## ΤΟΣ ἘΜΜΈΤΡΩΣ ΜΕΤΑ-
## φραθεὶς ὑπὸ παύλου τοῦ
## Δολσκίου πλαέως.

Ecclesiastes Salomonis gręcis
versibus redditus à Paulo
Dolscio Plauensi.

*Adiecta in fine tribus Elegijs, ab eodem autore
de Natiuitate, Paßione, & Resurrectione
CHRISTI scriptis.*

LIPSIAE

PER IOHAN. RHAMBA.

Anno

M. D. LIX.

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

## HIERONYMUS SCHEIN DRESDENSIS.

Ψαλμογράφου παιδὸς, βίβλον μεγάλου Σολο=
μῶντος,
Δόλσκιος ἀργολικοῦ φθέγξατ᾽ ἀπὸ στόματος.
Δακρυχέων πικρῶς ὅτι πάντοτε πᾶσα κένωσις,
τόντε βίον κλαίων, καὶ τὸν ὁμῶς γελάων.
Χρήματος οὐχ ἕνεκεν ταύτας εἰργάσατο γνώμας,
εἰς πολλῶν χρῆσιν τοῦτο ἀείσατ᾽ ἔπος.
Τῆς δὲ ἐφημοσύνης θείας σπουδαῖε ἐραστὰ,
καλὸν θαυμάσας ἄνδρα, γίνωσκε χάριν.

ILLVSTRISSIMO ET REVERENDISSIMO PRINCIPI AC DOMINO DOMINO SIGISMVNDO, ARCHIEPISCOPO MAGDEBVRGENSI, Primati Germaniæ, Adminiſtratori Halberſtatenſi, Stetinenſium, Pomeraniæ, Caſſubiorum, Sclauorum, & Croſnæ in Sileſia Duci, Burggrauio Noribergenſi, & Principi Rugianorum, Principi ac Domino ſuo clementiſs.

S. D.

EXtant Ciceronis de natura Deorum libri eleganter & copioſè ſcripti, in quibus autor diſputationem hanc Philoſophicam, quam ipſemet & obſcuritatis plenam, & explicatu perdifficilem eſſe fatetur, in tria membra diuiſam pertractat. Primum, utrum Dij ſint nec ne. Deinde quales ſint, gubernatores ne mundi, & rerum omnium procuratores, an uero



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

ociosi tantummodo eorum, quæ casu ita, & temere fiunt, spectatores. Postremo utrum rebus humanis consulant, prouideantq́ue, an uero nulla prorsus hominum cura afficiantur, recitans uarias & pugnantes inter se Philosophorum opiniones, quorum aliqui & esse Deos senserunt, & res humanas moderari, alij nullos omninò esse, non etiam nulli esse quidem aliquos, sed res humanas negligere, nihilq́ue eorum quę in mundo fiunt administrare, sed ab omni rerum procuratione & regimine uacuos esse, non solum arbitrati ipsi, sed etiam alijs impiè persuadere conati sunt. Etsi autem ut Cicero saniorum, eorumq́ue magnorum, & nobilium Philosophorum sententiam amplexus, immò uero rationis lumen secutus, uerissimis argumentis eiusmodi Epicureorum deliramenta refutat, & diuinæ prouidentiæ testimonia colligit, sumpta primum à natura ordine, & motu corporum cœlestium, deinde ab ijs quæ terra in usum animantium, maximè uero hominum uberrima quotannis fœcunditate procreat, tum ab ipsa hominis fabricatione & structura, tanto artificio ab ar-

chite-

chitecto & conditore rerū omnium Deo efformata, ut ne minima quidem particula in hoc μικροκόσμῳ sit, quę non ad certam utilitatem spectet: ita cum hoc pulcherrimum mundi theatrum, tum uero alia plurima diuinę præsentiæ indicia, mentibus humanis in prima conditione impressa, homines non uæsanos, aut prorsus à diabolo excæcatos conuincunt, ut & esse Deum, & moderari omnia fateantur, πάντῃ ὄντα, καὶ πάντα βλέποντα, & ut iudicem omnium humanarum actionum, & scelerum uindicem δικάζειν εἰδότα, καὶ ἔκδικον ὄμμα ἔχοντα pertimescant: tamen cum multæ etiam in uita, eæq; tristissimę sint rerum confusiones, cum similes non raro sint bonorum malorumq; ærumnæ, sitq; non solum ἐν δὲ ἰῇ τιμῇ ἠμὲν κακὸς ἠδὲ καὶ ἐσθλός, sed etiam cum ijsdem miserijs uterq; conflictetur, Imò uero homines deterrimi opibus interdum affluant, & honoribus atq; dignitate floreant, oppressis interea his, quorum mores integerrimi, minimeq; reprehensione digni esse uidentur: usu uenire solet ijs qui caussas humanarum calamitatum uel ignorant prorsus, uel parum diligenter considerant, ut

 fortu-

fortunam ſolummodo in rebus humanis dominari, atq; ita temere & exiſtere omnia, & rurſus interire cenſeant, epicureorum more ſe pręſentibus uoluptatibus, manifeſta cũ turpitudine coniunctis oblectantes, & deridentes alios, qui & uitandos lapſus contra conſcientiam, & Deo placentia facienda eſſe, & factorum hunc humanorum omnium poſt hanc uitam iudicem futurum eſſe, nequaquam προσωποληπτοῦντα aſſerunt. Tales uere ἄφρονες διεφθαρμένοι, καὶ βδελυχθέντες ἐν ἐπιτηδεύμασιν αὐτῶν ut Pſalmus inquit, καὶ τυφλοὶ τά τ' ὦτα, τόν τε νοῦν, τά τ' ὄμματα ſecundum Tragœdiam, etſi omnibus temporibus permulti ubiq; reperiuntur, qui non paucos ſuo exemplo corrumpunt: Pios tamen, qui & cauſſas ex cœleſti doctrina didicerunt humanę rationi occultas, cur tot tantisq; calamitatibus genus humanum obnoxium ſit, & pœnas ſcelerum, etiamſi longo tempore differantur, ſine omni dubitatione ſecuturas norunt, nequaquam illis aſſentiri, nec ſucceſsibus malorum, aut ærumnis bonorum, quantumuis triſtibus ſpectaculis moueri decet, ut de prouidentia, & gubernatione rerum huma-

narum

narum diuina dubitent, διαπορῦντες περὶ αὐτῆς, καὶ μεμφόμενοι, quando euentus consiliis non respondent, ut post pugnā Pharsalicam accepta clade Pompeium fecisse Plutarchus memorat: sed potius infixam mentibus tenere futura illius δικαιοκρισίας expectationem, in qua euidentissimum Deus, & perpetuum, coram sanctis angelis suis, inter bonos malosq́ꝫ, fideles dico & infideles, discrimen facturus, & illis quidem promissam æternæ beatitudinis possessionem donaturus, hos uero ut θεοστυγεῖς, καταράτους, καὶ βδελυκτοὺς à facie sua repulsos in æternos cum Diabolis, Spiritibus immundis & blasphemis, cruciatus est abiecturus. Hanc salutarem, & ad exuscitandos animos ad pietatem, atqꝫ timorem Dei necessariam doctrinam, etiam hic Ecclesiastes, seu concionator Salomon in hoc suo libello, qui non minus quam Theodoreti orationes, λόγος περὶ προνοίας inscribi debebat, pręcipue tradit, subinde eam grauissimis sententiis illustratam repetens, & obiectiones eorum refutans, qui res humanas ideo fortunæ aleæ subiiciunt, & ab administratione earum mentem diuinam remouent, quod

sæpenumero similes bonarũ malarumq́ actionum euentus sint, & non etiam nunquam improbi meliore quàm boni conditione, & loco esse uideantur. Adiunctis dulcissimis consolationibus, quibus pios ad opera uocationis suę exhortatur, & languidos eosdem ad labores in ea sustinendos, uel cum periculis coniunctos, uel nullam prorsus utilitatem prę se ferentes excitat. Et comminationibus tristissimis, quibus impijs, quantumuis in hac uita potentibus, & securis, pœnas suas ineuitabiles prędicit. Hæc doctrina quanquam harum concionum quasi caput & precipuus scopus est: tamen & multæ aliæ pręclaræ, eæq́ insignibus figuris artificiosissime exornatæ ὑποθῆκαι hic traduntur, de officio boni magistratus οὐ δημοβόρου, in tutela ac defensione agriculturæ, hoc est protegendis non exhauriendis subditorum facultatibus, de constituendis iudicijs, περὶ ἐπιεικείας, & uicissim de adhibenda seueritate in puniendis atrocibus delictis, & peccatis enormibus, de non audiendis sycophantis, de obedientia subditorum magistratui debita, de nõ mouendis seditionibus, de patientia, de

coercen-

coercendis cupiditatibus, de frenanda ira, de uitandis calumnijs & obtrectationibus, quibus nihil hodie uſitatius eſt, de beneficentia, etiamſi ij quibus beneficia præſtantur nullam omnino gratiam relaturi eſſe uideantur, de uero & laudabili diuitiarum uſu, in declinatione ſordium, & uitanda, contrario his uicio, prodigalitate. Quarum ſententiarum etſi ſimiles etiam apud Ethnicos autores, Pindarum, Heſiodum, Theognin, Phocylidem, Pythagoram, & alios inueniri non ignoro: tamen Salomon plus in his ſuis concionibus docet quam illi omnes, cum nõ ſolum præcepta politica & œconomica tradat, ſed ueram etiam de Deo doctrinam, uoce eius generi humano patefactam, nõ humana ſapientia excogitatam audiri præcipiat, damnans ſtulticiam eorum, qui neglecto uerbo Dei celebrandis tantummodo ſacrificijs, & offerendis uictimis, cultum ſe illi gratum præſtare opinantur. Qua de re ſcriptores ethnici ξένοι τῶν διαθηκῶν τῆς ἐπαγγελίας ſecundum Paulum, nec docuerunt, nec docere potuerunt quicquam. Has ob cauſſas cum hic libellus lectu dignißimus ſit, non in-

gratam hanc meam ἔμμετρον eius μετάφρασιν illis, qui studium græcarum literarum cum pietate coniungunt, futuram confido. Quam quidem ideo tuæ Cel. offerre, & sub auspicio nominis tui, Illustriss. & reuerendiss. Princeps in lucem mihi edere uisum est, quod cum multis in locis de officio boni magistratus autor concionetur: tum uero initio statim harum concionum semetipsum Regem & Ecclesiasten nominans, suo exemplo te tuiq́ similes alios, ad Ecclesiæ & Reipub. gubernacula diuinitus collocatos, salutares & laude dignos principes, & Ecclesiastici & Politici officij commonefacit, nec munus solum regendæ magnæ hominum multitudinis, cõseruandæq́ publicę tranquillitatis, sed etiam curam uobis tuendi Ecclesias, Scholasq́ commendat, in quibus cœtus sint docentium & discentium ueram de Deo, cultuq́ illi accepto doctrinam, explosis inde, & abolitis omnibus commenticijs, & cum sinceritate diuinitus patefactę ueritatis pugnantibus, cultibus supersticiosis & idololatricis.

Quam curam ut ab ineunte ætate ad pietatis studium assuefactus, & salutari do-

ctrina

ctrina à clarissimo uiro eruditione, uirtu
te & sapientia præstanti M. Paulo, Præ-
torio excultus à tuo officio non alienam
esse agnoscis, & magna cum laude mul-
torumque cum approbatione suscipis: ita
DEVM oro per filium suum unicum no-
strum saluatorem IESVM CHRISTVM,
ut conatus tuos pro immensa sua miseri-
cordia, ad gloriam nominis sui sempiter-
nam, adiuuet, tuamque gubernationem nō
solum Reipub. utilem, sed etiam Ecclesię
salutarem efficiat. Quod reliquum est re-
uerenter à t. Cels. peto, ut opellam hanc
meam, quam & uersioni harum concio-
num & elegijs de natiuitate, passione, &
resurrectione τοῦ λυτρωτοῦ, quasi auctarioli
& appendicis loco in fine adiectis im-
pendi, boni consulat, meque sibi commen-
datum habeat. E Salinis tuis Saxonicis
ad ripam Salæ, Anno Virginei partus
1559.

T. Celsit.

addictissimus

Paulus Dolscius.

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# ΡΗΜΑΤΑ ΕΚΚΛΗ-
σιαστοῦ υἱοῦ Δαβὶδ βασιλέως ἐν ἱερουσαλὴμ ἐμμέ-
τρως μεταφρασθέντα ὑπὸ Παύλου
τοῦ Δολσκίου Πλαέως.

## ΚΕΦΆΛΑΙΩΝ α.

Ἐκγεγαὼς πατέρος κύδιστος ἀμύμονος υἱὸς,
καὶ τοῦ ψαλμογράφου παῖς βασιλῆος ἄναξ·
ταῦτα πανηγύρεων Σολομὼν ὁ προσώνυμον ἱερῶν
οὔνομ' ἔχων, βάζει πάνσοφ' ἅπασι βροτοῖς.
πάντα μάταια πέλει, μεταμώλι' ἅπαντα τέτυκται,
ἠδὲ πάλαι, ἠδὲ τὸ νῦν, καὶ παρὰ πάντα χρόνον.
τίπτε γὰρ ἀνθρώποις παρὰ πάντων ἐστὶν ὄνειας
ἠέλιος φαέθων ὅσσα μογοῦντας ὁρᾷ;
κἂν γὰρ γυιοκόροις τις ἔδῃ μελεδήμασι θυμὸν,
πόλλ' ἀπολαυσέμεναι τῶνδε μάλ' ἐλπόμενος.
οὐδαμ' ὁ δειλὸς ὅμως ἐπιτυγχάνει ὧν ἐπεθύμει,
καὶ πᾶς ἄπρηκτος τῷδ' τάλαν ἐστὶ πόνος.
πάντες γὰρ βροτοὶ ἄνδρες ἐπὶ χθονὶ σῖτον ἔδοντες,
καὶ μινυώριοι ὁμῶς εἰσὶ, καὶ ὠκύμοροι.
τῶν μὲν νῦν γενεή τις ἀποίχεται ἄϊδος εἴσω,
ἄλλη δὲ ζωῆς νῦν πάλιν ἄρχεθ' ἑῆς.
καὶ πάμπρωτ' αἴης ἐπιβαίνει κυδιανείρης,
παμφαὲς εἰσορόωσ' ἠελίοιο φόως.
χθὼν δ' ἀπερίτρεπτος, καὶ στεῤῥὴ πάντοτε μίμνει,
ἄλλους πὰρ ναέτας ἄλλοτ' ἔχουσα βροτούς.
εἰδομένη θεάτρῳ τὸ ἀμοιβαδὶς εἰσαφικάνειν,
νυνὶ μὲν ἂν κείνους, νυνὶ δὲ τούσδε βλέπῃς.

ἄλλοθ'

ἄλλοθ᾽ ὁ Λητοΐδης ἀνόρουσε ἐς αἰπὺν ὄλυμπον,
    δύσετ᾽ ἐς ὠκεανοῦ ἄλλοτε ῥεῖθρα πάλιν.
χ᾽ ὃν δρόμον ἐξανύων ἐλάᾳ χρυσάμπυγας ἵππους,
    πρός τε τόδ᾽ αὖ νοστεῖ τέρμ᾽, ὅθεν ἦλθε μολών.
πρὸς νότον ἔσθ᾽ ὅτ᾽ ἐπῶρτ᾽ ἀνέμων μένος ὑγρὸν ἀέντων,
    ἔσθ᾽ ὅτ᾽ ἐριπνεύστους πρὸς βορέαο δόμους.
καὶ τάχα παντοίης διαπρήσσουσ᾽ ἤθεα γαίης,
    ὥστ᾽ ἐπανέρχεσθαι κεῖσ᾽, ὅθεν ἷξε, πάλιν.
νάματ᾽ ἐς ὠκεανὸν περικλυστὸν ἅπαντα καταῤῥεῖ,
    ἀλλ᾽ οὐκ ὠκεανὸς νάμασιν αὔξεθ᾽ ὅμως.
τῇ μὲν ἄρ᾽ ἐσβάλλουσ᾽ εἰς ἠεροειδέα πόντον,
    τῇ δὲ πρὸς ἀρχαίους αὖ ἀνιοῦσι ῥόους.
τῶνδ᾽ ὡς ἰχόντων, κόπος ἐστὶ τὰ πάντ᾽ ἀμέγαρτος,
    λυγρά τε τὰ θνητῶν πάντοθι πάντα πέλει.
ὥστε διηγήσασθ᾽ οἷόν τε τάδ᾽ οὐδένα εἶναι,
    κἂν περὶ μὲν νοέειν ᾖ, περὶ δ᾽ αὖτε λέγειν.
ὄμματα γάρ τοι ὁρᾶν ἀκορέστως, οὔατ᾽ ἀκούειν,
    ἀπλήστως. ἐφ᾽ ὅλης γῆς ὅσα γίνετ᾽, ἔχει.
εὐμετάβλητ᾽ ἐπεὶ καὶ ἄστατα πάντα τέτυκται,
    ὄψιν καὶ ἀκοὴν κραιπνὰ παρερχόμενα.
χ᾽ ὅσσα πάλ᾽ ἐν κόσμῳ γένετ᾽ ἀνδράσι πὰρ προγόνοι
    ταῦτ᾽ ἐπὶ γῆς καὶ νῦν τοῖς τότε γίνεται ὁμῶς. (σι,
καὶ πάλιν ἀνθρώποις παρὰ τοῖς μετέπειτα γενέσθαι
    μέλλει, ἐπεὶ καινὸν μηδὲν ἡ αἶα φύει.
οὐδὲν ὑπ᾽ αὐγῇσιν καινὸν πέλετ᾽ ἠελίοιο,
    οὐκ ἄλλῃ γεγονὸς καὶ πάρος ἐν γενεῇ.
τίφθ᾽ εὕρηκε νέον διζήμενος ἔνθα καὶ ἔνθα,
    εἰπέ μοι, ἐν κόσμῳ τῷδε τροχοειδεῖ ὅλῳ;
τίπτε μοι ἂν δείξαις περὶ οὗ κεν ἐρῇ τις ἀληθῶς,
    καινοποίημα τόδ᾽ ἐστ᾽, οὔτις ὅτ᾽ εἶδε πάρος;

πάντα

πάντα γὰρ ἀνθρώπων γενεὴν κατὰ τὴν πρὶν ἐγένοντο,
ἔμμορά τε μνήμης ᾤχετο μηδεμιῆς.
καὶ τῶν γενομένων τότε νῦν μιμνήσκεται οὐδεὶς,
καίπερ ἀγαλλείτων καὶ πάνυ κυδαλίμων.
ὡς τῶν ῥεκτῆρες νῦν εὐδοκίμων ἡμέες ἐσμὲν,
εἴσονται ἐσσομένων οὔτι τὰ φῦλα βροτῶν.
αὐτὸς ἐγὼν ὁ μοὶ εἶν ἀγοραῖς κλέος ἐσθλὸν ἀείρας,
καὶ παρ' ὁμηγύρεων οὔνομα κυδρὸν ἔχων:
αὐτὸς ἐγὼ Σολύμοισιν ὁ τοῖς ἱεροῖσιν ἀνάσσων,
σκηπτοῦχος βασιλεὺς, ἠδ' ἐρίτιμος ἐὼν,
τὴν ἐμέθεν ὥρμαινον κατά τε φρένα, καὶ κατὰ θυμὸν,
σπούδασμα κραδίης τοῦτο, πόνημά τ' ἐμῆς.
αἴτια μαστεύειν, καὶ ἴδμεν ὑπὸ ἠελίοιο,
αἴγλησιν κόσμου γίνεθ' ὅσσ' ἔνδον ὅλου.
κήδεα ταῦτα θεὸς φρεσὶν ἀνδρομέῃσιν ἐφῆκε,
θυμὸν, ἀμυσσέμεναι τοῖς μερόπεσσιν ἀεί.
πάντα δ' ἐρευνήσας τὰ ὑπὸ αἰγλήεντι ὀλύμπῳ
γινόμεν', εὗρον ὅλως πάντα τὸ μηδὲν ἐμέν.
καὶ πολύμοχθα πέλειν καὶ ἐτώσια, λυγρά τε πολλὰ
δυστήνοις παρέχειν, καὶ ταλάνεσσι βροτοῖς.
οὐ γὰρ ἂν ὀρθοίη τὰ διάστροφά τις μογέων περ,
οὔποτε τὸ σκολιόν τ', ἰθὺ γένοιτο πάλιν.
καὶ τῶν ἀμπλακιῶν οὐδεὶς κεν ἀριθμὸν ἴδοιτο,
τόσσ' ἄρα τὸ πλῆθος γαῖαν ἐπ' εἰσὶν ὅλην.
ἔσθ' ὅτε κἀμὲ φρονεῖν περὶ μου μέγ' ὁ θυμὸς ἄνωγε,
τοιάτε πρὸς κραδίην εἰπέμεναι αὐτὸν ἐμήν.
ἠνίδ' ἐγὼ βασιλεὺς σκηπτοῦχος κυδεῖ γαίων
εἰμὶ, καὶ ἔνδοξον κάρτα λέλογχα βίον.
καὶ μεγαλοπρεπέως διάγω, πεπνυμένα εἰδὼς
πλείονα συμπάντων τῶν πρὸ ἐμεῖο σοφῶν.

ὅσσοι

ὅσσοι τοῖς σολύμοις ἱεροῖσί περ ἐμβασίλευσαν,
ἠδὲ μάλ' ἴφθιμοι καὐτοὶ ἄνακτες ἔσαν.
εἰδήησί τ' ἐμαῖς πραπίδεσσι τάδ' ἐγκατέθηκα
πάνθ', ὧν ἄνδρα σοφὸν δεῖ μὴ ἀπείρον' εἶμεν.
μύθοις πειρηθεὶς πυκινοῖς, ὡς οὐδέ τις ἄλλος,
πολλά τε τῇ πείρῃ οὐκ ἀποφωλὶ ἰδών.
ἱμερτὸν γὰρ ἐμοὶ περικῆρι, φίλον τε τέτυκτο,
τῆς πινυτοφροσύνης, ἰδμοσύνης τε τυχεῖν.
καὶ σοφίῃ πάντων ἂρ ὑπείροχον ἔμμεναι ἄλλων,
καὶ κλέος ἐν θνητοῖς ὧδέ μοι ἐσθλὸν ἀρεῖν.
ὡς δὲ φρόνιν μείζων κε πλειότερός τε γνοίμην,
καὶ μαθέειν δόξειν τὰς κενότητας ἐμοί.
αἳ μοὶ καὶ αὐταί μόχθους τε κόπους τε πάρεχον,
κήδουσαι κραδίην, καὶ κυκόωσαι ἐμήν.
ὅστις γὰρ σοφίης ἔραται, καὶ ἔξοχος ἄλλων
τὴν πολυϊδρείην βούλεται ἔμμεν' ἀνήρ:
ἄλγεα πόλλ' οἴσει, μελεδήματα πολλά τε θυμῷ,
γηθόσυνός τε τὸ κῆρ οὐδέποτ' ἔσσεθ' ἑόν.
χ' ὃς γινωσκέμεναι τὰ πλεῖστα ἐέλδετ', ἀπλήστως
τὴν φρεν' ἐπιστήμης πολλὰ μαθὼν περ ἔχων,
τὸν δ' ἀφόρητα φέρειν, καὶ ἄτλητα τετληότι θυμῷ
τλῆναι, ἀνιηρὸν χρὴ διάγοντα βίον.

## ΚΕΦΑ. β.

Παίγνια οὖν ὁρόων, ὡς οὐδ' ἧτε ἀνάξια εἶναι
πάντα, πρὸς αὐτὸς ἐμὸν τοῖάδε θυμὸν ἔφην.
ἥδεο θυμὲ πόσει, καὶ ἐδητύϊ, ἁβρά τε πάσχε,
καὶ παρὰ γηθοσύνης πάντ' ἀπόλαυε βίον.

καὶ

καὶ μοῦνόν σε ἴαινε χαριζόμενος παρεόντων
ὧν σφόδρ' ἐπαυρίσκειν σοὶ γανόωντα πάρα.
ταῦτα μενοινήσας φρεσὶ δὴ περὶ ἐμῇσι, καὶ αὐτὰ
καρπαλίμως φθινύθειν, κεινά θ' ἑώρακ' ἔμεν.
τῷ ῥα παραφροσύνην σὲ γέλως ἄσβεστ' ἐκάλεσσα,
τήν τε χαρὰν προσέφην δαιμονίη τί ποιεῖς;
κἀμοὶ εὐφροσύνης ἀπέχειν, καὶ δαῖτα θάλειαν
λειπέμεναι, οὐ πίνειν τ' οἶνον ἔδοξεν ἔτι.
πάγχυ καταφρονέειν δ' ἐνὶ φρεσὶν ἁβροῖο βίοιο,
ἡδονέων τ' ἀμελῶς τῶν προπάροιθεν ἔχειν.
καὶ περὶ τὴν σοφίην σπουδάζειν κηρόθι μᾶλλον,
τῶν τ' ἄλλων ποιεῖν οὐδένα πάγχυ λόγον.
ὄφρα κεν ἀνθρώποις τὰ ὀνήσιμ' ἐόντα δαείην
ἐρδέμεναι, σφετέρου ἤματα πάντα βίου.
μέχρις ὅτου φάος ἡδὺ λίπωσ' αὖ ἠελίοιο,
τοὺς περ ὑποχθονίους εἰς καταβῶσι δόμους.
τοῖα φρονῶν καὶ φραζόμενος πινυτόφρονι θυμῷ,
ἀιείμνηστα τελεῖν ἔργα πρόθυμος ἔην.
καὶ μεγαλοπρεπέεσσ' ἐπεχείρεον οἰκοδομῇσι,
πάντας ὑπερβάλλειν κόσμου ἄνακτας ὅλου.
δώματ' ἐμοὶ τεύχων περικαλλέα, θαῦμα ἰδέσθαι,
ὡς αἴγλη μήνης ἠελίου τε πέλει.
κἀμοὶ οἰνόπεδος κάλλιστα βέβριθεν ἀλωὰ
βότρυσιν, ἐν κνημοῖς πολλὴ ἐρισταφύλοις.
τοῖς ἄρα παρξώοις πεφυτευμένη ἔν τε κολωνοῖς,
ἔν τε δὲ ἠλιβάτοις τοῖς ὀρέεσσιν ἐμοί.
ἄνθεσ' ἑτοιμασάμην ἐριθηλέα κῆπον εὐπνοῖς,
καὶ παράδεισον ἐμοὶ τέρψιν ἔδειμα φέρειν.
πρὸς τούτοις δένδροις πεπυκασμένον ἀγλαοκάρ-
ὄρχατον οὐ σμικρὸν πᾶσιν, ὅσ' αἶα τρέφει. (ποις

ἔνθα

ἔνθα γὰρ αἱ ὄχναι, καὶ μηλέαι, ἠδὲ ἐλαῖαι
ξὺν ῥοιαῖς συκαῖτ᾽ εὐθαλέεσιν ἔσαν.
ταῖσι κολυμβήθρας προσέθηκα ἀειλιβὲς ὕδωρ
ταῖς ῥίζαις παρέχειν, τὰς πρασιάς τε βρέχειν.
πολλοί τε δμῶες, πολλαὶ δμωαί τε γυναῖκες
ἔργ᾽ ἐργαζόμεναι ἦσαν ὅσημέρ᾽ ἐμοί.
τῶν πάλιν οὐκ ὀλίγοι ἐμοὶ οἰκέται ἐκγεγάασι,
καὐτοὶ δουλοσύνης πάντες ἀνισχόμενοι.
οὕτω δ᾽ αὖ πολύαρνις ἔην ἅμα, καὶ πολυβούτης,
ἐν πάντεσσι νομοῖς πίονα θρέμματ᾽ ἔχων,
ὥστ᾽ οὐ βουκολίοις, ἀγέλῃσί τ᾽ ἐμ᾽ ἰσοφαρίζειν
τοὺς νωμήσαντας σκῆπτρα πρὶν ἐνθάδ᾽ ἐμοῦ.
νητὸς ἐμοὶ χρυσὸς δὲ καὶ ἄργυρος ἐν θαλάμοισι
κεῖτο, καὶ ἀφθονίη πάντοθι τοῖνδε παρῆν.
χ᾽ οἱ κρείοντες ἐμοὶ κειμήλια πόλλ᾽ ἐκόμιζον,
ἐκ σατραπειάων τίμια, καὶ πόλεων.
ἄπλαγε θησαυρὸν θέμενος θυμήδε᾽ ἐτήρουν
κάλλιστ᾽, ὥστε σέβας τοὺς ὁρόωντας ἔχειν.
οὔτε λιγυφθόγγων ἐχάτιζον πώποτ᾽ ἀοιδῶν,
οὔτ᾽ εὖ μελπομένων μοὶ σπάνις ἔσκε κορῶν.
ἀλλά μοι ὀρχηστὺς. μολπή τε λιγεῖα μεμήλει,
καὶ τῆς δαιτὸς ἔην ταῦτ᾽ ἀναθήματ᾽ ἐμῆς.
τοὔνεκ᾽ ἀοιδοσύνης ἀνὰ δῶμ᾽ ἔχον ἴδριας ἄνδρας,
καλῇ ἀειδέμεναι καλά μοι ᾄσματ᾽ ὀπί.
καὶ τὰς θηλυτέρας λιγύφωνον γῆρυν ἱείσας,
καὶ μουσιζέμεναι εὖ μάλ᾽ ἐπισταμένας.
καὶ δὴ παρθενικὰς εὐώπιδας, εὐπλοκάμουςτε,
ὧν βασιλεὺς οὐδεὶς πλείονας ἔσχεν ἐμοῦ.
τίς γὰρ μὴ τούτων ἱμείρεται ἐν πραπίδεσσι,
εἴκεν ἀνὴρ πάντως ἀγριόθυμος ἔῃ;

οὐδ᾽ ἀμελῶς εἶχον τῶν εὖ φόρμιγγα λιγεῖαν,
    χείρεσι κρουσάντων εὐξοχάλοισιν ἐμοί.
ἀλλὰ περισάμεναι καὶ σφᾶς μοι ἄνωγα, καὶ ἅπαντας,
    περπωλῆς ὅ, ζοῦν εἰδότας ἄλλο γένος.
τοῖσδ᾽ ἐσ᾽ ἀγάκλειτος γνώμην τόσον, ὥσ᾽ ἂρ ἐρίζειν
    τῶν πότ᾽ ἀναξάντων τὸ κλέος οὐδ᾽ ἐν ἐμοί
πᾶσι δ᾽ ὁδ᾽ ὃν σοφίη τοῖσδ᾽ ἔργμασιν ἡγεμόνευσε,
    καὶ παραμέμβλωκεν φραδμοσύνη μοι ἀεί.
ὅσσα τε τερπέμεναί πως ὄμματ᾽ ἐμεῖο δύνηθη,
    πάνθ᾽ ὡς ἡδίστην σφίνην ἐδητὺν ἔδων.
καὶ ἄλλα, εὐφραίνειν κραδίην βροτῷ ἀνδρὶ πεφύκει,
    τοῖσδε κέαρ γανόων καὐτὸς ἴαινον ἐμοῦ.
οὔτιν ἂρ ἀχνυμένης ψυχῆς παρὰ χάρματα λείπων,
    οὔθ᾽ ὅσα θελγέμεναι οἷά τε τὴν φρέν᾽ ἔην.
τὼς ἀπηκορδαίνειν μεμαὼς καμάτων τε πόνων τε,
    τοὺς ὑπέδυν ζητῶν ὀλβιοδαιμονίην.
τίς γὰρ ἀνὴρ μὴ πάγχυ νόος βεβλαμμένος ἐσθλοῦ.
    γλίχετ᾽ εὐφροσύνης ἔμπαλι πολλὰ καμών;
οὗτος ἐπεὶ μοῦνος μελεδώνων μισθὸς ἂν εἴη
    γυιοκόρων, μελέοις καὶ ταλάνεσσι βροτοῖς.
καὶ τὸ εὐκταίοις ἰνδάλμασιν ὄμματα θέλγειν,
    μυρίατ᾽ αἰνοπαθεῖ γήθεα κῆρι φέρειν.
ἄλλα γε καὶ τὴν μοῖραν ἐμοῦ μοῦν ἔμμεν᾽ ὀΐων,
    τῆς πολυμοχθείης καρπὸν ἔνεικον ἐμῆς.
εἶτα δὲ φρασσάμενος τὰ ἐμοὶ δεδμημένα πάντα
    εὖ μάλα, καὶ χειρῶν ἔργ᾽ ἀριδείκετ᾽ ἐμῶν:
μόχθον τ᾽ ἐν τούτοις τὸν ἐμόχθισα δυσκολόκοιτος,
    πάντα κατ᾽ αἶσαν ἐμοὶ πρὶν τετελεσμέν᾽ ἔμεν.
ἠνίδ᾽ ἐτωσιόεργος ἐμοὶ πολύεργος ἐόντος,
    εἰ μὲν ὅλως, ῥέξαιτ᾽ οὔτιδ᾽ ἂν ἔργα φανῆν.

θυμὸν

θυμὸν ὅμως ἀνακιζέμεναι, φθινύθειν τε φίλον κῆρ,
καὶ μέγα προστρίβειν φρεσὶ πεφυκότ᾽ ἄχος.
οὐ μόνιμ᾽, οὐ στάσιμ᾽ οὐχ ἑδραῖα, καὶ ἔμπεδα ὄντα,
ὡς πτερόεν δὲ, ὁμοῦ πάντ᾽ ἀνεμώλι᾽, ἔπερ.
τοὔνεκα τοῖς ῥεχθεῖσ᾽ ὑπ᾽ ἐμοῦ νόον αὖ τε προσεῖχον,
τὴν τ᾽ ἀγανοφροσύνην, ἀφροσύνην τε δρακεῖν.
καὶ τότε μοι δῆλον γένεθ᾽ ὡς κακὸν αἴθοπα οἶνον
ἐστὶν ὑπὲρ τὸ μέτρον τοῖς μερόπεσσι πιεῖν.
κὰν λοιποῖσιν ἐμοὶ ἀδαημονίη τις ἐφάνθη,
τῆς τε χαλιφροσύνης οὐδὲν ἄμοιρον ἔην.
τίς γὰρ ἀνὴρ θνητὸς μογέων παρὰ παμβασιλῆος
τοῦ ἔθεν, ἰσχὺν ἔχει, κτίστορος ἔργα τελεῖν;
οὐχ οἷός ε ἐὼν τετληότι ἄλγεα θυμῷ
ἀνσχέμεναι, τὰ δίδοι πολλὰ βροτοῖσι θεός.
αὐτὰρ ἐχεφροσύνην ματίης διακρινέμεν ἔμπης,
τοῦτον ἐμοὶ γέγονεν, νῦν προσέχοντι, τρόπον.
ὥστε με γινώσκειν ἀσόφου σοφὸν ἔμμεν ἀρείω,
ὅσσον τῶν σκοτέων φέρτερόν ἐστι φόως.
ἐν κεφαλῇ φορέει γὰρ ἀνὴρ πεπνυμένα εἰδὼς
ὄμμαθ᾽, ἅπαντα νόῳ εὐφρονέοντι βλέπων.
πλάζετ᾽ ἐν ὀρφνῇσιν δ᾽ ὁ χαλίφρων, ὡς ἀλαός τις,
οὐδὲν ὁρῶν, δίχα νοῦ τ᾽, ἤν τι ὁρῴη, ὁρῶν.
κοινὴ ὅμως πάντων τύχη ἐν βιότοιο γεφύραις,
ἢ μὲν πουλυφρόνων, ἠδὲ μάλ᾽ ἀφραδέων.
τοὔνεκεν αὖ τοῖον πρὸς μῦθον ἐμαυτὸν ἔειπον,
πάντα μοι ἐξίσης εἰ λάχ᾽ ὁ μάργος ἀνὴρ,
τοῦ χάριν ἄψ αὐτῆς ἀγανοφροσύνης πέρι πάντων,
ἤματα καὶ νύκτας θυμὸς ἄνωγεν ἐμέ;
ἔμπαλιν οὖν κέαρ ἔλλαβ᾽ ἐμὸν τοιήδε μενοινὴ,
τῆς σοφίης τὸ πέρας πάγχυ μάταιον ἔμεν.

οὐ γὰρ μνημόσυνον δικαιότερον πέλει ἀνδρὸς,
ὃς περὶ οἶδε νοεῖν, τοῦ ἀφραδοῦντος ὅλως.
χὠς μηδ' εἷς πάμπαν λόγος ἐστὶν μηκέτ' ἐόντων,
εἰ καὶ ἀγαυὰ πάλαι, καὶ περίβωτα ἔην.
ὡσαύτως καὶ πάντα τὰ νῦν περικυδάλιμ' ὄντα,
ἐξίτηλα χρόνος στήσεθ' ὁ ἐρχόμενος.
θνήσκει ὁμῶς ὅ, τε κεινὰ φρονῶν, ὅ, τε κάρτα νοήμων,
κηρὶ δαμεὶς μογεροὶ ἐν βιότοιο τέλει.
κἀμφοτέρους θανάτοιο μέλαν νέφος ἀμφικαλύπτει,
μηκέτι δερκομένους ἠελίοιο φάος.
μεμψάμενος τοίνυν μελεδῶνας δήγματα θυμοῦ,
ἤχθαιρον ζωὴν κῆρόθι αὐτὸς ἐμήν.
οὐδὲν ἄκληρον ὁρῶν ἐνὶ τῇδε ὀϊζύος αἰνῆς,
πλεῖα δὲ νηρίθμων πάντοθι πάντα κακῶν.
πάνθ' ὅσσ' ἠριγένει ἐπικίδναται ὑψόθεν ἠὼς,
εὖ κεν ἀληθεύων οὐδενὸς ἄξι' ἐροίης.
οὐλομένοις λυπρὸν νύκτας τε καὶ ἤματα πάντα
κήδεσ', ἀκιδνοτάτων θυμὸν ἔδοντα βροτῶν.
καὶ στυγερώτατ' ἐμοὶ πολύκμητά περ ἦεν ἅπαντα,
χὤσσ' ἐπὶ γαῖαν ἐμαὶ χεῖρες ἔτευξαν ὅλην.
οὕνεκα κληρονόμῳ τάδε λείπειν χρὴ μὲ θανόντα,
ὃς διαδέξετ' ἐμὴν ἔσθ' ὅτ' ἀνακτορίην.
τίς γὰρ ἐπίστατ' ἀνὴρ εἰ ἔσσεται οὐκ ἀνοήμων,
ἢ ἀεσιφροσύνης τὴν φρένα μεστὸς ἔην;
καί τοι ὅμως πάντων ὅσ' ἐγὼ πόνησα κρατήσει
δαίδαλα, καὶ μεγάλῳ ὀψιτέλεσα πόνῳ.
ὡς δ' αὖ καὶ τάδ' ἐμεῦ μερμήριζον κατὰ θυμὸν,
αἴτια δὴ μεμαὼς σφῶν κατὰ φρεσὶ λαβεῖν.
οὐδὲν ἐμοὶ τούτων κενεώτερον ἄλλο πέφανται,
οὐχὶ ματαιότερον τῶνδε δόασσατ' ἐμοί.

πάντ'

πάντ' οὖν ἐξέβαλον περοῦ μελεδήματα θυμοῦ,
    μήτ' ἔτι μοχθίζων τὸν μὸν ἔτειρα κέαρ.
ὡς πάρος, ἡνίκ' ἐμοὶ ὑπ' αἰγλήεντι Ὀλύμπῳ
    ἀγλαὰ τευχέμεναι εἴκελος οὔτις ἔην.
κἂν πύκα γὰρ φρονέης, σοφίην τε κεκασμένος ἦτορ
    φῶς, λίην τ' ἐχέφρων καὶ περίιδρις ἔης:
τῆς τε σαοφροσύνης μεμνημένος ἤματα πάντα,
    οὐ λιπαρῶς διάγῃς, εὐτελέως δὲ βίον.
οὐδ' ἐν ὅμως, ὁπόταν σέ τὸ μόρσιμον ἦμαρ ἐπέλθῃ,
    εἰσφερέμεν μέλλῃς ταῖς ἀίδαο πύλαις.
ἀλλ' ἅμα πάντ' ἐπὶ γῆς καταλείψεαι οὐκ ἐθέλων περ
    ἀνέρι, τῶν δὲ σφείων οὔτι μέμηλε πέρι.
τὶς δὲ μὴ ἀνδρομένης καὶ τοῦτ' ἀλγημάκεν εἶναι
    ματίδιον κραδίης, καὶ μέγα πῆμα λέγοι;
τίπτε δὲ ἀδδηκῶς καμάτοισί τις ἀχολόωντε
    τὰς φρένας, ὧν τ' ὀδυνῶν χ' ὧν κεν ὄναιτο πόνων;
ζωὴ ἡ βροτέη τῶν δὲ ἀμήχανα μηχανάασθαι,
    πλείη ἀνιάων, κᾀλγινόεσσα πέλει.
οὔτε δι' ἄμβροτον ἂν κῆρ λωφήσειε μεριμνῶν
    νυχθ', ὅπερ ἠλίθιον κᾀυτὸ λέγοις κεν ἐμέν.
οὐχὶ δὲ θνητογενεῖ περφθέναι λώϊον ἀνδρὶ
    οἷσι δίδωσι θεὸς; κἂν βίῳ ἁβρὰ παθεῖν;
δαίνυσθαί τε μετ' εὐφροσύνης, καὶ οἰνοποτάζειν,
    ἔκ τε πόνων βαρέων γήθεα καρποφορεῖν;
τὴν γὰρ ἐπαυρίσκειν, ἐπειή γε θεόσδοτά ἐστι,
    ἄνδρα κατηφείης χρὴ ἀπάνευθε βροτόν.
τίς τοίνυν μοῦ ἐν εὐθαλίαις ἔζησ' ἐρατειναῖς,
    θυμόν τ' ἀγλαΐῃ μᾶλλον ἴηνεν ἑόν;
ᾧτινι ἦτορ ἔχει θεὸς εὐμενὲς, ἦρα οἱ ὄλβῳ
    χρῆσθαι ἔθεν ἰδμοσύνην, χαρμοσύνην τε δίδοι.

τῷ δὲ ἁμαρτωλῷ πάλιν ἐν κενεόφρονι βάλλει
τοι σωρευέμεναι χρήματ᾽, ἄπληστον ἔρον.
δυστυχίας αὐτῷ καὶ ἀθλιότητας ὀφέλλων,
ὥστε εὐφροσύνην κέρδος οἱ οὔτι φέρειν.
αὐτὰρ ἅπαντα λαχεῖν θεόθεν, κεχαρισμένον ἄνδρα
τῷ θεῷ, ἀλλοτρίοις ἐτρεφέμεν τε πόνοις.
τοὔνεκα χ᾽ ἡ πολυκτημοσύνη κενεόν τι τέτυκται,
κήδεα πὰρ δειλοῖς πολλὰ φέρουσα βροτοῖς.

## ΚΕΦΑ. γ.

ὥρην πάντ᾽ ἴσχει, καὶ ὥρια γίνετ᾽ ἐν αὐτῇ,
γίνεσθ᾽ ὅσσ᾽ ἐφ᾽ ὅλην κάυθιος αἶαν ὁρᾷ.
πάντα τ᾽ ἐπὴν σφέτερον τὰ ἐπὶ χθονὶ τέρμα κιχάνῃ,
κηρὶ δαμμέντ᾽ ἔρρει οὐ μετὰ δηρὸν ἔτι.
ὃς τυτθὸς παῖς ὢν ὑπὲρ ἥλιον ἄρτι φαεινὸν
ἦλθε, ποτ᾽ αὖ μέλλει τὸν φαέθοντα λιπεῖν.
νῦν φυτευέμεναι τὰ βλαστὰ μὲν ὥριον ἐστι,
νῦν δὲ φυτ᾽ ἐκτίλλειν καιρὸς ἐσαῦθι πάρα.
τυκτὰ κατασκάπτειν ὥρη μέγαρ᾽, ὥρη ἐσαῦθις
δώματα τευχέμεναι, ὅππου ἐρείπι᾽ ἔην.
καὶ νῦν μὲν θερμὸν βάλλειν κατὰ δάκρυ παρειῶν,
νῦν δὲ ὀρωρέμεναι πουλὺν ἔοικε γέλων.
ἄλλοτ᾽ ὀδύρεσθαι βροτὸν αἴλινα ὁ θυμὸς ἀνώγει,
ἄλλοτε οἱ ὀρχεῖσθ᾽ ὡς παρθενοπίπῃ ἀδεῖ.
ἔστι τις ὧν καθελεῖν ποτὲ τείχεα ἤρεσε μακρὰ
καὶ αὖτε τειχοδομεῖν χερμαδίοισι πάλιν
ἐν μιῇ ἀγκὰς ἑλεῖν καταθύμιον ἡμέρῃ ἐστὶ,
ἐν δ᾽ ἑτέρῃ χάριν αὖ οὔτι φίλημα φέρει.

νῦν

νῦν μὲν ζητοῦντας τὰ διαῤῥαίσωσί κεν ἀθρεῖς,
νῦν δὲ διολλῦντας χρήματ᾽ ἐσαῦθι βροτούς.
ἄλλοτε τηροῦμεν τὰ φυλακτέον ἐστὶ δεόντως,
ἄλλοτ᾽ ἀφ᾽ ὡραῖον βαλλέμεν αὐτὰ πέλει.
καιρὸς ῥήξασθαι τὰ ξυῤῥαφθέντα κελεύει,
καιρὸς ἀναγκάζει καὶ τὰ ῥαγέντα ῥαφεῖν.
ὅς δὴ καὶ σιγᾶν νῦν μὲν δέον εἶν ἀναφαίνει,
νῦν δ᾽ αὖ φθέγγεσθαι οὐ μὴ ἀεικές ἔμεν.
πρός τινας εὐμενέως μὲν ἔχειν εἰώθαμεν αἰεὶ,
πρός τινας ἀλλάττειν δ᾽ ἔχθεος αὖ φιλίην.
οὐκ ἔργ᾽ ἀμφιέπειν πολεμήϊα ἔσθ᾽ ὅτ᾽ ἄκαιρον,
εὔκαιρον δὲ μάχης αὖ τέλος ἠρεμίη.
τίπτε βροτῷ δὲ φέροι τάδε καὶ σφὶν ἐναντί᾽ ὄνειαρ,
κἂν ἐπόνοισι διδούς, ἄλγεα πολλὰ πάθῃ;
αὐτὰρ ὅμως ἐφέηκε θεὸς τάδε λυγρὰ βροτοῖσι,
τὴν ζωὴν ἐπὶ γῆς σφᾶς πολυκηδέ᾽ ἄγειν.
ὅσα ποιεῖ δ᾽ αὐτὸς, περικαλλέα ποιεῖ ἅπαντα,
ὁππόθι γίνεσθαι χρὴ, ὁπόταν τε δέῃ.
ἀχαλάαν ἐόων μέροπας, φθινύθειν τε φίλον κῆρ,
τοῖς περὶ τῶν πραγέων κήδεσ᾽ ἔτ᾽ ἐσσομένων.
οὐδένα γὰρ θνητῶν θεοτύκτων εἰδέναι ἔργων,
ἤτοι τὴν ἀρχὴν ἐνδέχετ᾽, ἢ τὸ τέλος.
οὐκ οὖν κἀνταυθοῖ μέροπος οὐδὲν ὀνήσιμον ἔγνων,
εἰ μὴ ἀνιάων θυμὸν ἄπειρον ἔχειν.
γαστρὶ χαρίζεσθαι, σκέδασιν ποιεῖν τε μεριμνῶν,
ὄφρα δέμας βρότεον ζωτικὸν αἷμα τρέφει.
καὶ γὰρ εὐφροσύνως ὧν τις κτεάτισσ᾽ ἀπολαύειν
ἐν βίῳ, οὐκ ὀλίγη ἐκ θεοῦ ἐστὶ χάρις.
τῶνδ᾽ αὖ μελλόντων τοιονδὴ ἐν ἐάσεθ᾽ ἕκαστον,
ὁπποῖόν κεν ὁ δρῶν πάντ᾽ ἐθέλῃσιν ἔμεν.

ἀστυφέλικτα μένει, καὶ ἔμπεδα ἴσατ' ἐς αἰεί,
μοῦνον ὅσ' ἀϊδίου κυρίου ἔργα πέλει.
τοῖς προσθεῖν οὐδὲν θνητῷ δέδοτ', ἢ ἀφελέσθαι,
τῶν τι ὑψίστου ὡς ἀλέγει κεν ὄπιν.
ὅσσα τ' ἐκεῖνος ὁ ὢν ἄρα δημιόεργος ἁπάντων
κτίζει, ἐν ὠπὶ βροτῶν ὦκα τελεστὰ πάρα.
καὶ ἅττα γενέσθ' αὐτῷ καταθύμιον ἐστι, γενέσθαι
δεῖ τάχα, καὶ μιν ἔχει ἀμβολὴ οὐδεμίη.
αὐτὰρ ὅμως ἐπὶ γῆς ὡς οὐχ ἅλις ἦ κακοτήτων,
τῶν καταβρυχουσῶν κάμμορα φῦλα βροτῶν,
ἱδρωθέντα κρίσει ὁσίῃ τοῦ ἑώρα καὶ ἕδεθλα,
τοῖς ἔνι δυσσεβίη ἢ φθορὰ ἧσσο δίκης.
καὶ ὁ ἀθέμιστα δρόων κατ' ἀνὴρ θρόνον εἶχε θέμιστος,
φώς τε παλαμναῖος τίμια σκῆπτρα φόρει.
ταῦτά μοι ὀσσομένῳ κραδίη φρεσὶν αἶψα μενοίνα,
εὐσεβέας θ' ὁ θεὸς, δυσσεβέας τε κρινεῖ.
πάντα τε ἰθυκρίτης τελέθων ἅτις ἔρξε δικάσει,
κἄν τις ἔῃ ἀγαθὸς, κἄν τις ἀλιτρὸς ἔῃ.
καὶ τοι σφισὶ πέρως εἱμαρμένου ἔμμορε πάντα,
ὅσσα τις ἐσθλ' ἐπὶ γῆς, ἢ κακὰ ῥέζει ἀνήρ.
ταῦτα μενοινήσας φρεσὶν ἔσθ' ὅτ' ἐμῇσιν, ἔειπον
πρὸς κραδίην τοῖον μῦθον ὁ δειλὸς ἐμήν.
πήματ' ὀϊζυροῖς ἐπιάλλει ταῦτα βροτοῖσιν,
οὐχ ὑψηλοφρονεῖν σφᾶς ἐόων ὁ θεός.
ὄφρα βίον διάγειν βοσκήματ' ὁρῶντες ὅμοιον,
οὐ πολὺ τετραπόδων σφᾶς προὐδαῶσι φέρειν.
οὔτι γὰρ ἄλλο φέρει κόρδος μερόπεσσι βιῶναι,
πλὴν ἀποδεῖξ' ἴσους σφᾶς ἀλόγοισι πέλειν.
κάτθαν' ὁμῶς τό, τε παντελέως νοῦ ζῶον ἀμοιροῦν,
καὶ ὁ βροτὸς αὐδήεις, φρεσί τε πυκνὰ φρονῶν.

καὶ ἡ αὐτὴ ξυνάπασι πνοή, ξυνόν τε ἄημα,
ἡμὲν τῶν κτηνῶν ἔπλετο, ἠδὲ βροτῶν.
τῶν τε ὑπερζυγίων μέροπας ἢ εἴπῃσθα προὔχειν
οὐδέν, ἐπεὶ πάντων ἡ κενότης τὸ τέλος.
εἰς θ' ἕνα πάντα θανόντ' ἐξαῦθις χῶρον ἱκάνει,
εἴτ' ἄλογ', εἴτε λόγου ἔμμορα ταῦτα πέλει.
εἰς τ' αἶαν νοστεῖ τὴν παμμήτειραν, ἐκεῖθεν
ἐξελθόντα φόως ἔσιδ' ὅθ' ὑπ' ἠελίου.
καὶ ὡς ἀρχῆθεν ἄρ' ἐκ κονιορτοῦ ἅπαντα τέτυκται,
ὡς κονιορτὸς ἐμὴν μέλλει ἅπαντα πάλιν.
καὶ τίς τῶν μερόπων σάφα οἶδεν εἰ αἰθέρος ἐς ἄκρον
τῶν μακάρων βρότεον πνεῦμ' ἀναβήσεθ' ἕδος:
ἠὲ καθὼς ψυχὴ βοσκήματος ἄϊδος εἴσω
βήσεθ', ὑποχθονίων εἴσε τὰ κλεῖθρα δόμων;
πάντ' οὖν εἶμεν ὁρῶν μεταμώλια ἅπασαν ἐπ' αἶαν,
φέρτατον ἡγοῦμαι εὖ θέμεναι τὸ παρόν.
τῶν τε μεριμνάων κῆρ ἐκκενεῶσαι ἁπασῶν,
καὶ μεταδοῦν ἱλαρῶς γαστέρι τῶν κτεάνων.
ταῦτα γὰρ ἀθανάτου θεοῦ ἐς ἐρικύδεα δῶρα,
τὰ σφέτερον θνητοῖς ἠΰτ' ἔδωκε λάχος.
τῶν δ' ἄλλων ἀμελῶς χρὴ ἔχειν ἀνθρώπων ἐόντα,
ὧν οὐδὲν τεθνεὼς οἴσεται εἰς ἀΐδου.
κἂν γὰρ ἀνὴρ ξύχῃ μάλ' ἑαυτόν, ἔδῃ τε φίλον κῆρ,
ἤματα καὶ νύκτας κήδεσιν ἀχθόμενος:
τίς μιν ὅμως τόσσης πινυτοφροσύνης ἐπιβήσει,
τίς τε δαημοσύνης τόσσ' ἐφ' ἓ μέλλει ἄγειν,
ὥστε προγινώσκειν μιν ζῶντ' ἔτι ἐσσόμεν' ἔργα,
οἷα μεθ' ὑστάτιον τοῦ βιότοιο τέλος;

Ἔνθεν δ' ἀλλαχόσ' αὖ κραδίην τε καὶ ὄμματα τρέψας,
  πήματ' ἀτιμοτάτωμ ἔδρακομ ἄλλο βροτῶμ.
τῶνθ' ὑβριζομένωμ πολλοὺς ἴδομ ἄσχετομ ὕβριμ,
  καὶ κακὰ πασχόντωμ, ὧν περ ἄναιτι ἔσαμ.
καὶ μάλ' ὀδυρομένους, καὶ δακρυχέοντας ἀλήκτως,
  σφῆσ' ἐπαλαστοῦντάς τ' ἀθλιότησιμ ἴδομ.
οὐδ' ἑνὸς αἰνομόροις αὐτοῖσι παρηγόρου ὄντος,
  οὐδ' ἑνὸς ὕβριμ ὅλως σφίσιμ ἀμυνομένου.
οὕνεχ' ὑπερφίαλοι σφῶμ ἄνδρες ὠπέρτεροι ἦσαμ,
  οὐ παραμύθητ' ἄρ σφὶμ κακὰ τευξάμενοι.
ταῦτά μοι ὀσσομένῳ οἱ νεκροὶ αἰῶνα λιπόντες
  τῶν ζώντωμ δόξαν πουλὺ μακάρτεροι ἔμεν.
ἀμφοτέρωμ δ' ἔμ πῃς προέχειμ μακαρισμὸμ, ἐς αἶαμ
  τοὺς γεννηθέντας μήπω ἔκρινα βροτοὺς.
πάμπαμ ἐπεὶ πλέθουσι κακῶμ μόνομ οἵδε ἄγευστοι,
  τῶν γένεος ζωὴ ἀνδρομέοιο γέμει
πεῖρα δ' ἐμ' οὐ παύρωμ ἐδίδαξεμ ἐπίστροφομ ἀνδρῶμ,
  ἐν βροτέοις ὑγιὲς στήθεσιμ οὐδὲμ ἔμεν.
κἀμοὶ βασκανίης, τῆς οὐκ ὀλοώτερομ ἄλλο,
  πλεῖα τὰ τῶν θνητῶμ ἐν χθονὶ πάντα φάνη.
ζηλοῖ γὰρ πᾶσιν τὸμ πλησίομ ἄλλομ ἀρείω
  ἔμμεναι, ἐν τέχνῃ ἥντινι οὖμ ἔθ' ἰδὼμ.
καὶ μάλ' ἑοὶ φθονέει τῆς δεξιότητος, ἀμοιρεῖμ
  μήθ' οἷόν τε τυχεῖμ τῆσδ' ἔγ' ἑαυτὸμ ὁρῶμ.
οὗτος ἄρ' ὁ ζῆλος θυμοφθόρα καὐτὸς ὀφέλλει
  ἄλγεα, κῆρ σφέτερομ δαινυμένοισι βροτοῖς.
τούτοις δ' αὖ ἄλλοι τινὲς οὐ μὲν ὅμοια φρονοῦντες,
  ψεκτὰ δὲ οὐχ ἧττομ τῶνδε δρόωντες ἔσαμ.

ἄνδρες

ἄνδρες παμπήδην ἀπάλαμνοι, ἄεργον ἄγοντες
    ἐν θαλεραῖς εὐφροσύν' εὐπαθίῃσι βίον.
οἷς οὐδ' ἦν σφετέρων ἀπλαυέμεν εὐφροσυνάων
    γίνετο, εὖ ζήσειν δηθάπερ ἐλπομένοις.
αἶψα γὰρ ἀφραδέεσσι ὁμοῦ ῥαίσαντες ἅπαντα,
    ἤλλαξαν πλοῦτον οὐλομένῃ πενίῃ.
σφᾶς τ' αὐτοὺς ἔφαγον δεδμημένοι αἴθοπι λιμῷ,
    τοῦ γένος οὐ πέλεται ἔχθιον ἄλλο μόρου.
ἀλλά συ ἐργάζου ὅσις φρένας ἄρτιος ἐστὶ,
    καὶ μὴ ἑκὰς καμάτων τὰς σέο χεῖρας ἔχε,
κἂν μὴ ὁ ἐν τούτοις περιώσιος ὄλβος ὀπηδῇ
    κάπετος, εὔφρον ὅμως κῆρι τὰ βαιὰ δέχου.
δρᾶγμα μεθ' ἡσυχίης ἓν ἐπεὶ πολὺ λώϊόν ἐστι
    πλήθους, σὺν μόχθῳ, σύν τ' ἄχει, ἀμφιλαφοῦς.
ἥτε τράπεζα λιτὴ συγγόνων ἀπάθουσά τε μεριμνῶν,
    κρείττων θυμοδακοῦς ἐστὶ ῥυηφενίης.
ταῦτα παραινέσας τὸν νοῦν ἑτέροισι προσεῖχον,
    ὧν κε ματαιότερον γῆς ἐπὶ μηδὲν ἔῃ.
εἰσί τινες τοῖς ἀνθρώπων ὑπαλύξαι ὅμιλον,
    πάντα τε μουνήρως ζῆσαι ἂρ ἦμαθ' ἅδει.
μήτ' ἀτιτάλλουσι ζυγίης βλαστήματα τέκνα,
    μήτε κασιγνήτους γῆς ἐπ' ἔχουσιν ὅλης.
πάντα ταλαιπώρως δ', ἐπιμόχθως ἤματ' ἄγουσιν,
    ὡς σφέας ἂν χθὼν μυρία φῦλα τρέφειν.
καὶ τῆς χρημοσύνης ἄπληστον θυμὸν ἔχουσιν,
    ἐλδομένοις πλεόνων, πλεῖστα λαχοῦσί τ', ἀεί.
ὧν φιλοκερδείην οὐκ ἂν χρυσορρόος Ἕρμος,
    καὶ νᾶμ' εὐύδρου πᾶν κορέσειε Τάγου.
οὗτοι μηδ' ἔπι τε σφέας ἰσορέουσιν ἂρ αὐτοί,
    ὥσθ' εἶναι συνεχέως ταῦτα πρὸς αὐτὸν ἐρεῖν.

τοῦ σωρευέμεναι σπεύδω τόσα χρήματα, θυμὸν
παννυχίοις φθινύθων ἢ ματίοις τε πόνοις;
τοῦ χάριν αὐτὸς ἐμῶν κτεάνων ὁ ξίσαλας οὕτω
φείδομαι, ἑκὼν ζωὴν ἀλγινόεσσαν ἄγων;
τίπτ᾽ ἐμέθεν κραδίῃ πλεονεξίῃ ἐμβασιλεύει,
οὐδὲν ἐμοί θ᾽ ἱκανὸν πουλύπορον εἶμεν ἐᾷ;
ἣ δ᾽ ἐφρενοβλαβίη πασῶν κε λέγοιτο μεγίστη,
αἰνοτάτων τε κακῶν παγγενέτειρα πέλει.
ἣ δ᾽ ἐστιν ἀλλήκτοις ψυχὴν ξύγχουσα βροτείην,
καὶ δ᾽ ἅπτουσα φρένας νωλεμὲς ἀνδρομέας.
τοὔνεκα τοῖν δοιοῖν ὁ βίος μοὶ φέρτερος εἶναι,
πιστῇ ζευχθέντοιν, δόξεν, ὁμοφροσύνῃ.
πίστις ἀνέκφρασον γὰρ ὁ μόζυγός ἐστιν ὄνειαρ,
σφῶν τε παρηγορίη τοῖς μερόπεσσι κακῶν.
ἢν γὰρ τῶν ἑτάρων πότε ὁ εἷς πέσοι, αὖθις ἐγείρει,
μήτε κάτω κεῖσθαι δ᾽ ἦθ᾽ ἕτερός μιν ἐᾷ.
ἢν δὲ πέσοι φίλον οὐδὲν ἔχων, καὶ πιστὸν ἑταῖρον,
ὅς χέρας οἱ ὀρέγοι, οὐ σάος ἔσσετ᾽ ἔτι.
ἐν μιῇ εὐνάζηθ᾽ ὁπόταν δύο σώματα κοίτῃ,
ἀμφοτέρους θάλπει θέρμασι ἀμφοτέρων.
μηδ᾽ ἐμίην ἴσχων δ᾽ ἐ ἀνεκθέρμαντος ἄκοιτιν,
ἐν λέκτροις κεῖται, νύκτα κενοῖσιν ὅλην.
εἷς ἀμενηνὸς ἀνήρ, δύο δ᾽ ἵσταντ᾽ ἔμπεδοι ἀλκήν,
καὶ βρόχος ἄρρηκτος τριπλάσιος κε πέλῃ.
κοῦρος τις πενιχρὸς μὲν ἐών, πεπνυμένα δ᾽ εἰδώς,
γηραλέου προέχει, καὶ βασιλῆος ἀνοῦ.
ἔσθ᾽ ὅτ᾽ ἐν αὐχμηρῇ εἱρκτῇ τις δεσμὰ φορήσας,
σκῆπτρ᾽ ἔνλαβ᾽ ἀρετῆς αὖ γέρας εἶτο φορεῖ.
καὶ πάλιν αἵματος ὢν βασιληΐου εἰλαπίνῃσιν
ὄλβον ἅπαντ᾽ ὀλέσας, ἄλλος ἔγεντο πένης.

ὃν

ὃν διαδέξαιτο χερσὶ σκῆπτρα τὸν υἱὸν ἄνακτος,
    κληρονόμον τε τίει πᾶσις, οἳ ἦρα φέρων.
καὶ τοῦ δ᾽ ἔμπροσθεν στιχόωνται μυρία φῦλα,
    τῶν τε οἳ ἐσσομένων οὐκ ἔστιν ἀριθμὸς ἔῃ.
ἀλλ᾽ οὐκ εὐφροσύνης ἀπολαυέμεν αἰνομόροισι,
    δῆθα, λαχόντεσσί μιν βασιλῆα πάρα.
οὐ γὰρ σκῆπτρα λαβὼν πατρώϊα, πατρὸς ἀμείνων
    γίνετ᾽, ἐσσ᾽ ἀρχομένους μειλιχόθυμος ἐών.
ἀλλὰ βίῃ πίσυνος, καὶ καρτεῖ ἡλικίῃ τε,
    πουλὺ ἔτ᾽ ὠμότερος τοῦ γενέταο πέλει.
οὕτως οὖν πέλεται καὶ τοῦτο βροτοῖσιν ἐπαχθὲς,
    ἔνδειγμ᾽ ἀνδρομένης κ᾽ αὐτὸ κενοφροσύνης.

## ΚΕΦΑ. ε.

Ναοῦ ἀμειψάμενος θεοδέγμονος ἱερὸν οὐδὸν,
    μήκεν ὀλισθαίνῃ πους πεφύλαξο τεός.
τοῖς ἐνθεοπνεύστων σὰ διδάγμασιν οὔατα μύθων,
    θυμὸν ὕπερ, εὐάρετον, πρόσχες, ὅτ᾽ ἐστὶ θεῷ.
οὐ γὰρ δεκτὰ θεῷ ἐπιβώμια πίον ἂν εἴη,
    ἅττ᾽ ἀφρόνων ῥέζει βουφονέων περ ἐοῖ.
αὐτοὶ ἀτασθαλίας ἐπεὶ σφῶν ἀγνοέουσι,
    χ᾽ ὅσσων δραστῆρες νήπιοι ὦσι κακῶν.
μὴ θεῷ εὐχόμενος προπετὴς τοῖς χείλεσιν ἴσθι,
    μήτε ταχὺς κραδίην τοῦ δ᾽ ἔτι πρόσθεν ἐρεῖν.
μήτε περιττολόγῳ οἱ ἐνόχλεε πουλυεπείῃ,
    τῆς δ᾽ ἐπαλυσέμεναι πρόφρον ἐοιόμενος.
ξὺν γὰρ ἀπειρεσίοις εὐχῆσιν ὃς αὐτὸν ἱκάνει,
    ὧν ἤτησ᾽ οὐδὲν λαμβάνει, ἢ ὀλίγον.

τίσδε

τίς δὲ ἐν ὦπι θεοῦ πολύμυθός τ' ἐλλόγιμός τε
    φαίνεσθ', ἀνθρώπωμ γηγενέωμ κε θέλοι;
κἀκ ςόματος καθάπερ ποτὶ ἀνέρα πουλυθρόοιο,
    εἴκελ' ἔπη νιφάσιμ χειμερίησιμ ἵειμ;
καὶ γὰρ ἐν αἰθερίοις θεὸς ὑψιθόωκος ἑδέθλοις
    ἥμενος, οἷς ἐπὶ γῆς πάντα καθ' ὄμμασ' ὁρᾷ.
ἴσωρ τε κραδίης σῆς ἐν φρεσὶ κρυπτάδι' ἅσσαπερ,
    καὶ πορφυρούσης οὐδενὶ δῆλα πέλει.
ὥςε δ' ἀποτίκτουσιμ μελεδῶναι ἐνύπνια πολλαί,
    ὥσκε λιτὰς κενεὰς πολλὰ ποιοίη ἔπη.
ἣν δὲ θεοῦ ἔμπης εὐχωλὴν ἥντιν' ὑπόσχῃ
    τὴν δ' ἀπὸ καὶ δόμεναι μὴ χρονίσειας ἑοῖ.
ὄφρα μὴ εὐχόμενός σοι πλεῖςα, διδοῦντι δὲ μηδὲμ
    τῶν ἀφρόνων γε δίκην, δυσμενὲς ἦτορ ἔχῃ.
λώϊον οὐκ εὔξασθ', ἢ εὐχὰς οὐκ ἀποδοῦναι,
    εὔχεο οὖμ μηδὲμ, πᾶμ ἢ ἀπὸ εὖγμα δίδου.
τῇ τε λαβροςομίῃ οὐχ ἡνίαν σεῖο χάλασσομ,
    μήποτε σάρκα λάθη ἐξαπατῶσα τεήν.
μήτε κακὸμ δράσας τι ἁμαρτάδος ἔμμεναι ἁγνόμ,
    ἔμπροσθεν ζαθέου ἀγγέλου, αὐτὸμ ἐρῇς.
οὕτω γὰρ περὶ σοῦ φάσκοντι ὁ καρδιογνώςης,
    σοὶ κε νεμεσσᾶσθαι κάρτα δύναιτο θεός.
τὴν τε σέθεν ςυγέωμ ζαμενῶς κενεαυχέα γῆρυν,
    φθιέμεναι παλαμῶμ ἔργματα πάντα τεῶμ.
ὡς δ' ὅταμ ἀνθρώπῳ τιμ ὀνείρατα πολλὰ φάνηται
    λυσιμελοῦς ὕπνου δῶρομ ἑλόντι φίλομ.
πολλὰ μάλ' ἠλιθίῳ ἰνδάλλετ' ἐτώσια θυμῷ,
    πολλὰ κεμ ὁ κνώσσωμ, ἠδ' ἀνεμώλι' ὁρᾷ·
οὕτω ἁμαρτοεπὴς κεν ὁ πουλυεπὴς καλέοιτο,
    ψευδέα τ' ἐν πολλοῖς πολλὰ λόγοισιμ ἐνι,

τοι

τοιγάρτοι σὺ θεοῦ ὄπιν ἄζεο αἰὲν ἐόντος,
καὶ τὸν παντόπτην μιν περικῆρι φοβοῦ.
ἢν δὲ δικάζεσθαι ἀδίκως ἀκτήμονος ἀνδρός,
πρὸς χάριν ἀφνειοῦ φωτός, ἰδίοιο δίκην.
μήτε τὴν εὐνομίην τῆς χώρης, μήτε θέμιστας,
ἀλλ' ὕβριν κρατέειν, ἁρπαλέην τε βίην:
μὴ θάμβος σ' ἑλέτω δ' ἐρκοντά περ αἴσυλα ἔργα,
μή σοι θαυμάζειν κάρτ' ἐπὶ τοῖσδε μέλοι.
οὐχ ὁράαν ἀδίκη οἰομένῳ τὰ ἐπὶ χθονὸς ἔργα,
αἰθέρος ἐνναέτην αὐγαλέοιο θεόν:
ἔστι γὰρ ἐστι φύλαξ ὑψηλοῦ ὑπέρτερος ἄλλος,
μείζων τ' ἀμφοτέρων ὀρθοδικός τε κριτής
χ' ὦ βασιλεύς, γαίης ὃν πάσης κοιρανέοντα,
στῆσε γεωπεινίης φρουρὸν ἐκεῖνος ἔμεν.
πάντων ἐν κόσμῳ κτεάνων βροτῷ ἀνδρὶ ἄριστον
γνήσιον, ὧν χρήζει πρὸς βίον ἐστὶ φέρον.
εὐφορίην παρέχον πρόσοδον πολυήρατον αὐτῷ,
καὐταρκῆ, καμάτων μισθὸν ἐοικότ' ἑῶν.
οὐχὶ φιλοπλούτου ἀφνειότερόν τινος ἄλλου,
τοῖον κεν φαίης ἀνδρὸς ἐπαργυρὸν ἔμεν;
ἦτοι ἐμοὶ βασιλεὺς δοκεῖ ἔμμεναι ὀλβιοδαίμων,
τῆς τε ῥυηφενίης ἐξ ἴσ' μάκαρ εἶο πέλειν.
ὃν δὲ φιλαργυρίη ἄφατον κακὸν εἵλετο θυμόν,
οὐκ ἂν πλησθείη κῆρ κτεάνων ποθέον.
χ' ὡ φιλόπλουτος ἀνὴρ τε πλούτου ἂν οὐκ ἀπολαύει
πώποτε, ὅτ' ἀκούσιον πάγχυ καὶ αὐτὸ πέλει.
πλοῦτος ὅπου πολὺς ἐστὶν ἐκεῖ καὶ σώματα πολλά,
βοσκόμεν' ἀλλοξίους, ἐστὶν ἄεργα, πόνους.
καὶ τί ἐχεκτέανος κτεάνων κεν ἔτ' ὠφελέοιτο,
πλὴν τε ἐκεῖνα μόνον τοῖς ἔτ' ἐς ὄμμασ' ὁρᾶν;

ἡδύ τι

ἡδύ τι λυσιμελὴς κεκμηκότι ἀνέρι ὕπνος,
ἤν τ' ὀλίγ', ἤν τε φαγὼν πολλὰ πρὶν, αὐτὸν ἕλῃ.
ἀλλ' ὁ φιλαργυρίῃ βεβολημένος οὔποτ' ἰαύει,
οὐ γάρ μιν κνώσσειν ἄσπετος ὄλβος ἐᾷ.
πῆμά κεν ἀνθρώποις οὐδ' εἰς ὀλοώτερον ἄλλο,
τοῦδ' ἔμμεναι θνητοῖς, πᾶσαν ἐπ' αἶαν ἐρῆ.
χρήματα τηρῆσαι καὶ θησαυροὺς ἀποθέσθαι,
σφῶν θ' ὕπ' ἀπόλλυσθαι, κεἰς ἀΐδαο περᾶν.
θνήσκει γὰρ δεινῶς, καὶ νηλέα πότμον ἐπισπεῖ,
πολλάκις ὁ ἀφνειὸς, χρήμασ' ἐφ' οἷσιν, ἀνήρ.
οὐδ' ἔτι τεθνειὼς καταλείπει ἕθ' ἐκγεγαῶτι,
κληρονόμον κτεάνων ὃν παρὸς ἔμμεναι ἐχρῆν.
ὡς γὰρ πρῶτ' ἐπέβη τῆς γαίης σώματα γυμνὰ
μητρόθεν, ὣς νοσεῖ γυμνὸν ὑπὸ τήνδε πάλιν.
ἔκ τε φέρειν κόσμου θνητῷ δέδοτ' οὐδενὶ οὐδὲν,
ὧν μάλα πολλὰ, παλάμαις εἰργάσατο ἧσι καμών.
δεινὸν δ' αὖ κἀκεῖνο βροτοῖς κἀπώδυνον ἄχθος,
ἣν πρῶτ' ἦλθεν, ὁδὸν πάντας ἐσαῦθις ἰέναι.
τί πότ' οὖν κορδαίνει ὁ μέροψ ἀνεμώλι' ἐοργώς,
ἧς τόσσων ζωῆς ἤματα πάντα πονῶν;
αἰὲν ὃν ἀχλυόεντι φαγὼν τ' ἐνὶ δώματι σῖτον,
τρώων τε κακῶς νούσοις σῶμ', ἀχέεσι φρένας,
τοὔνεκ' ἐμοὶ τάδ' ὁρῶντι δοάσσατο κέρδιον εἶναι,
τοίην δ' ἢ ταμέειν τοῦ βιότοιο τρίβον.
γαστρὶ χαρίζεσθαι πόσιος καὶ δαιτὸς εἴσης,
πᾶσιν τ' ἐν καμάτοις ἦτορ ἀκηδὲς ἔχειν.
καὶ μὴ ὀφελλέμεναι στοναχῆσιν ὀϊζύας αἰνάς,
μόχθους θ' ὧν βρότεος πᾶς πλέος ἐστὶ βίος.
τοῦτο μινυνθάδιον θνητοῖς αἰῶνα λαχοῦσι,
ζωῆς σφῶν κλῆρος μοῦνος ἂν εἴη ὅλης.

εἴτινι

εἴτινι εὐμενέτης ὁ θεὸς μέγαν ὄλβον ὀπάζει,
καὶ χρῆμαθ' οἱ δ' οἴκ τῷδ', ἐνὶ φρεσὶ κέαρ.
πίνειν ἄρ καὶ σῖτον ἔδειν μενοεικέα τερπνῶς,
κἂν μόχθοις αἰεὶν κῆρ πολυγηθὲς ἔχειν.
τοίην κεν φαίης τοῦ πλούτου χρῆσιν ἀληθῆ,
ἠδὲ θεοῖο δόσιν πάντα κρατοῦντος ἐμεν.
ἥντιν' ἐνὶ φρεσὶν ᾗσιν ἔχων, θεόθεν τε λελογχὼς
οὐκέτι μνῆσιν ἔχει τῶν βιότοιο κακῶν,
οὕνεκα νηπενθὲς καὶ ἄλυπον οἱ ἀστεροπήκτης
αὐτὸς ἀπ' οὐρανόθεν κῆρ ἐνέηκε θεός

# ΚΕΦΑ. ς.

Μυρία δ' αὖθις ὁρῶντ' ἀνὰ γαῖαν λύγρ' ἀλάλησθαι,
τοῦτο δ' ὀάσατ' ἐμοὶ οὐκ ἐλάχιστον ἐμεν.
ὅττι γ' ἀμαλθείας τὸ κέρας τινὰς οἴκοι ἔχοντας,
πασαμένους ἄνδρας χρήματ' ἀθέσφατ' ἴδον.
καὶ δόξῃ περικυδαλίμους, καὶ πάντα λαχόντας
ὧν κέ τις ἱμείρῃ ἐν φρεσὶν ᾗσι βροτός.
ἀλλ' οὐκ εἰδήας αὐτοῖς ἐδεδώκει χρῆσθαι,
ὄλβῳ, ἅμα πραπίδας, τοσατίῳ γε θεός.
τοὔνεκεν ἐκδαπανᾶν τῶνδ' οὐκ ἐδύναντ' ὀλίγον περ,
ἀλλὰ διατρίβειν πάνθ' ἑτέροισι λίπον.
ἠλίθιον μὲν τοῦτο πέλει, πολλοῖς δὲ σύνηθες,
φρεσί τ' ἐναυκότατον ταῖς βροτέῃσι πάθος.
ἢν ἑκατόν τις ἔχῃ τέκν' ἐν μεγάροισι φυτεύσας,
καὶ νήριθμ' ἀποθῇ χρήματα τοῖσδ' ἐφέρειν:
ζῇ δ' ἔτε μακραίων πολέας βίον εἴς τ' ἐνιαυτούς,
οὐ μεταδοὺς ψυχῇ χάρματος, ἐκτανέῃ.

μηθ' ὅσ' ἔοικε λάχῃ κτέρεα, οἰκιακοῖς ἀμεληθείς,
(συμβαίνει ἀφνειοῖς οἷά γε πολλὰ φιλεῖ)
οὐχί κεν ἄψυχόν τι προτιμήσειας ἐκείνου
ἔκτρωμ', ἧς μήτρας ἄμματ' ἀωρὶ ῥαγόν;
κἂν γὰρ ἐπιπνείῃ πολυήρατον οὐδ' ἔπειτ' αἶαν,
οὔτε φεραυγὲς ἴδῃ ἠελίοιο φόως:
νώνυμον οἰχόμενον καθάπερ καὶ ἀνώνυμον ἦλθε,
ἐκ σκότεος ἐμόλῃ εἰς σκότος αὖτε μέλαν:
ξυμπάσης ἔμπης κακότητος ἐλεύθερόν ἐστι,
ἧς ὕπερ εὔχετ' ἀνὴρ κῆρ φιλόπλουτος ἐόν.
τίπτε δ' ὁ χιλιάδας δύ' ἐνιπλήσας ἐνιαυτῶν
οὔτ' ἀγαθόν τι παθών, οὔ κεν ὄναιτο βίου;
οὐχὶ καὶ ἡλικίῃ τόσ' ἔπι προβεβῶσά περ, οὖρον
ἴσχει, ἐόντε μένει ἠΰθ' ἅπαντα τέλος;
ἔστι μὲν ἀνθρώπους πάντας κατὰ μοῖραν ἀνάγκη
μοχθεῖν, ἔμμορ' ὅσοι σώματ' ἔχουσι πνοῆς.
αὐτὸ δ' ἑοῖ βρότεον μόχθους κέαρ αἰὲν ὀφέλλει,
ταῖς ἐπιθυμιέων μαργοσύνῃσιν ἑῶν.
ἦρα δ' αἰφροσύνῃ προέχων τις ἂν οἷς καμάτοισι
τοῦ ἀφραίνοντος πλείονα μοῖραν ἔχῃ;
καὶ τί ἀνὴρ πενίῃ δεδμημένος ὡς πολύολβος,
μαίετ' ἄγειν λαμπρὸν πουλυτελῆ τε βίον;
λώϊον οὖν τῷδε κῆρι χαρίζεσθαι παρεόντων,
τῶν προφυγέμεναι ἀλλ' ἐνὶ φρεσὶ μάτην.
τέρπεο τοῖς παρεοῦσι, θεοῦ δῶρ' ἔμμεναι εἰδώς,
καὶ οἱ ἔτ' ἐσσομένων μούνῳ ἐπίτρεφ' ἅπαν.
κεῖνος ὅσ' οὐρανόθεν προΐηλε δοτὴρ σοὶ ἐάων
οὐκ ἀπέχειν σφείων σοί, μετέχειν δὲ δίδοι.
αἰὲν δὲ πλεόνων ἐπιθυμεῖν σφόδρ' ἀνιηρόν,
οὔτ' ἂν παύσειεν τόνδε κόρος τις ἔρον.

οὐχὶ

οὐχὶ τὸ μέλλον ἔμμεν, τόπερ οὔπω ὄν, οὐνόματ᾽ ἦεν,
πρὶν τοῦ γενέσθαι, κτίστορι γνωστὸν ἐόν;
καὶ ὅτι τόδ᾽ εἴθ᾽ ἑκὸν εἴτ᾽ ἀέκον περὶ σάρκα βροτείην,
ἤμελλ᾽ εἰσδύνειν, θνητὸς ἔμφυτε βροτός;
οὐκ ἔριδ᾽ αἰνέμεναι σθένον, εἰ μὴ ἐτώσια, κείνῳ,
εἶδος ὅτ᾽ οὐ τοῖον δῶκεν, ἢ ἄλλο ἑοῖ.
νήπιος οὖν πᾶσις πρὸς κρείττον᾽ ἔθ᾽ ἀντιφερίζων
τὸν θεὸν, ἀφραδίης κῆρ τ᾽ ἔμπλεος ἀνήρ.
ὅσα βροτοῖς δὲ δίδοι θεὸς ἢ τέρπον ἠὲ καὶ οὐχί,
εὖ θέσθ᾽, ἀνθρώπου καὶ σοφοῦ ἔργον ἔῃ.

## ΚΕΦΑ. ζ.

Τίς δὲ σάφ᾽ οἶδε βροτῶν σωτήριον ὅ, ττί κεν εἴη
τῆδ᾽, ὡς ἐν γαίῃ τῇδε φυγάδ᾽ ἀλλοτρίῃ;
ὡς χρόνου εἰν ἀκαρεῖ γὰρ τις σκιὴ οἴχετ᾽ ἄοπτος:
ὡς ἄφαρ ὁ βρότεος γίνεται οὔτι βίος.
τίς δ᾽ ἂν φαίη ἀνὴρ εὖ εἰδὼς μαντοσυνῶν περ,
μέλλοντ᾽ ἐν κόσμῳ αὐτοῦ ὄπισθεν ἔμεν;
καὶ ὅ, ττί κεν ἢ κακὸν ἢ ἀγαθὸν μαλακαίποδες ὧραι
μέλλωσ᾽ ἀνθρώποις ὠκυμόροισι φέρειν.
τῶν οὖν ἐσσομένων ἀμελὴς κλέος ἐσθλὸν ἀείρειν
σπεῦδε. ὃ ὑπὲρ γαίην ὄφρα μέτεσι βίου.
πολλῷ εὐκλείης λαχέειν γὰρ φέρτερόν ἐστι,
ἢ μύρον εὐῶδες, καὶ πολύτιμον ἔχειν.
κρεῖττόν τ᾽ ἐν βιότοιο τέλει τὸ πανύστατον ἦμαρ,
ἠὲ τὸ πρώτιστον τῆς γενέθλης περ ἐόν.
καὶ τοῖς μυρομένοις πολὺ λώϊόν ἐστιν ὁμιλεῖν,
ἢ τοῖς ἐν λέσχαις ἡδὺ πίουσι μέθυ.

κείνοις συμμιχθεὶς γὰρ πότμον ὁμοῖον ἀθρεῖς
 θνητογενῶν πάντων, πηλογόνων τε βροτῶν.
τὸν σὺ ζωὸς ἐὼν ἔτι σῷ ἐνικάτθεο θυμῷ,
 καὶ σὲ τελευτήσειν μνώμενος ὄντα βροτόν.
καὶ δὲ κατηφεῖσθαι τοι εὐφραίνεσθαι ἄμεινον,
 μνήμον' ἐσθ' ἔμμεν' ἐπεὶ δρᾷ τὸ κατηφῆ ἔμεν.
λύπρ' ἐχέθυμος ἀνὴρ μελετᾷ φρεσὶν ᾗσιν, ἄφρων δὲ
 γήθεα ᾗ κραδίῃ κενὰ διώκει ἀεί.
κρεῖττον ἀκουέμεναι τοι εὐφρονέοντος ὁμοκλὴν
 εἴη ἂν, ἢ ἀφραδοῦς αἱμύλι' ἀνδρὸς ἔπη.
ὡς δὲ μέγ' αἱ κάλαμαι λακοῦσι καππυρίσασαι,
 οὐλόκομ', ἣ φαίου ἃς νέμετ' ὠκαμένος:
τοῖον δὴ πέλεται ὁ γέλως τοι ἀβελτέρου ἀνδρὸς,
 χάρμα μινυνθάδιον δηλονότ', ἠδὲ κενόν.
ὡς τὸ κακηγορίῃ φθονερῶς διαβαλλέμεν ἐσθλούς,
 πῆμα μέγ' ἀνθρώποις γηγενέεσι φέρει.
τοῦτο φίλον παχνοῖ ἀνδρὸς πινυτόφρονος ἦτορ,
 καὶ θυμὸν φθινύθει εὖ μεμαῶτα ποιεῖν.
δεῖ δὲ τὸν ἀρξάμενον δρᾶν ἔμπης εἶμεν ἄοκνον,
 οἷσ' ἐπεχείρησεν, πράγεσιν ἐντεμένειν.
μήτ' ἀπροβισκέπτως τὶ ποιεῖν, σκοπέειν δὲ τελευτὴν,
 ἧς δ' παρὸν καὶ ἅπαν ἔσθ' ὅτε πρᾶγμα τύχῃ.
καὶ γὰρ τῆς ἀρχῆς τὸ τέλος πολὺ λώϊον ἐστί,
 καὶ τοι ἄρξασθαι κρεῖττον ἂν ἢ τὸ τελεῖν.
ἠΰτ' ἂρ ὁ τλήσας κάκ' ἀνὴρ ταλασίφρονι θυμῷ,
 τοι ὑποδρηνορέης φέρτερός ἐστι πλέου.
μὴ χόλον αἰφνιδίως ἀδικούμενος ὀξὺν ἀνάψῃς,
 ἐν γὰρ φωλεύει νηπίῳ ἀνδρὶ χολή.
καὶ μὴ δυσφορέων τοῖς γινομένοισι πιφαύσκῃς,
 τοῖον πρὸς κραδίην λευγαλέην σέθ' ἔπος.

τίπτ'

τίπτ' εὐημερίην ἔλαχεν τὰ παλαιά, τὰ νῦν δὲ
πλεῖστα δυσημερίης ἐστὶν ἅπαντα λυγρῆς;
οὕτω γὰρ φρονέειν οὐκ ἀνδρὸς ἐπίφρονός ἐστι,
ἀλλὰ χαλιφροσύνης τοῦ κέαρ ἐστὶ γέμον.
ὅτι καθὼς τὰ παρόντα κακοῖς βαρέεσσι βέβριθεν,
ὣς σφετέρας ἔχον καὶ τὰ πρὶν ὄντα δύας.
χρήμασιν ἡ πινυτὴ τί κακὸν συζυγμένη ἐστί,
καὶ μέγα τῶν ζώντων φῦλ' ὀνίνησι βροτῶν.
ὡς γὰρ ἐπιφροσύνη μάλα χρῆμα βιωφελές ἐστι,
ὣς χρηστὸς ὁ πλοῦτος χρήσιμος εἰδότ' ἔφυ.
ἀλλ' ἐχέθυμον ὅμως τὸ πλούσιον εἶναι ἄμεινον.
μοῦνα ἐπεὶ σοφίη ἐστὶ δότειρα βίου.
εἰ καὶ μὴ δ' ἄλλα ξυνάπαντα γένοιτό κεν αὐτῇ,
μήτ' ἀλλαχθῆναι ἔμπαλιν οἷά τ' ἔοι.
φράζεο γὰρ θεόδ' μή τά μοι ἔργ' ἐπ' ἀπείρονα γαῖαν,
τίς δύνατ' εὐθύνειν καμπύλ' ἃ τεῦξε θεός;
τοὔνεκεν εὐτυχίης χαίρων ἀπόλαυε παρούσης,
δυστυχίην τε πάλιν τέτλαθ', ἄλυπος ἐών.
ἀμφότερον γὰρ ὁ παντοκράτωρ τεκμήρατο θνητοῖς,
νῦν μὲν ἐσθλ' αὐτοῖς, νῦν δὲ λυγρὰ διδῶν.
ὡς τῶν μελλόντων εὖ εἰδότα μηδένα εἶναι,
καὶ τὰ παρόντα βροτοῖς πάντ' ἀβέβαια πέλειν.
πόλλ' ἴδον ἐν ζωῇ, κἂν πολλοῖς πολλάκις ἔγνων
φθίσθαι ὑπ' ἐνδικίης ἄνδρα δίκαιον ἑῆς.
καὶ μακροχρόνιον ζῆσαι τὸν ἀτάσθαλον ἄνδρα,
πάσχοντ' εὐμοίρῳ ἐν βίῳ οὔτι κακόν.
μὴ σοφὸς εἶν' ἐθέλῃς παρὰ μέτρον, μήτε δικάζων
ἀκλινέως ζητῇς τὠκριβὲς ἐνδικίης.
ὄφρα μὴ ὠμηστὴς γίνοιό ποτ' ἀνδρολετήρ τε,
καὶ σαυτὸν φθείρων ὠμοφρονοῦντα λάθῃς.

ἀλλὰ μὴ ἀφραίνοις ἔμπης, ἢ ἀτάσθαλα τλαίης,
μὴ ταχύποτμος ὑπὲρ σὸν καὶ ὄλοιο μόρον.
ἔστιν ὅτ' ἐνδικίης μάλα συμφέρει ἀντιέχεσθαι,
ἔστιν ὅπου χώραν καὶ ἡ ἐπιείκει ἔχει.
πῶς δ' ἂν δύσκολον ἂν διακρίνειν εὐμαρὲς εἴη
τοῦτο, κανὼν δείξει εἷς σοι ὅδ' οὐ σφαλερός.
εὐσεβίην μετιὼν θεὸν ἄζεο αἰὲν ἐόντα,
σφάλμα γὰρ ἐκφεύξῃ πᾶν, μιν ἀρωγὸν ἔχων.
πολλάκις ἡ σοφίη πλέον ἢ δ' ἐκ ἐρισθενέεσσιν
ἐν πόλει ἄνδρες, ἔτλην κάρτος ἐέσσαθ' ἑόν.
ἀλλ' οὐκ ἄνθρωπος πάμπολλά περ ἐσθλὰ ἐοργώς,
ἄμμορος ἀμπλακίης ἔστιν ἐς αἰὰν ὅλην.
μήποτ' ἐπεσβολίας περὶ σῷ ἐνικάτθεο θυμῷ,
τῶν κωτιλλόντων οὐ παρεόντα κακῶς.
τῶν σέθεν οἰκείων ἵνα μὴ πέρ ἀκήδε' ἀκούῃς,
πολλά τε μηδεμιῆς πίστιος ἄξι' ἔπη.
οἶσθα δὲ ὡς ἄλλους κακὰ ἔφης καὶ πολλάκις αὐτὸς,
ψευδεῖ δεννάζων τοὺς ἀπεόντας ὀπί.
τῶνδε πεπείρημαι πάντων πινυτόφρονι θυμῷ,
εἰδ' ἐν ἐελδόμενος σφῶν ἔτι πλεῖον ὅμως.
ὡς δὲ μὴ ἰδμοσύνης ἅψασθαι ἔδορα τελείης,
τηλόσ' ἐώρα καὶ ἐμοῦ αὐτίκα τήνδε φυγεῖν.
τῆς ἀνθρωπείης διανοίης τηλόθι ναίει
ἡ σύνεσις, πάσης ἄμμορος ἀμπλακίης.
κἂν μυχατοῖς κεῖται τῆς γῆς κευθμῶσιν ἄοπτος,
περὶ οὐχ εὑρήσει διζόμενός νιν ἀνήρ.
ἔνθενδ' αὖ ξυνάπαντα μαθεῖν μευ ἐμαίετο θυμὸς,
ἅπτα μὴ ἀνδρομέῳ ἐς ἀκίχητα λόγῳ.
ὥστε μὲ ἀφραδίης εἰδήμονα τῶν ἀσεβούντων,
τῆς τε πλάνης ἀφρόνων ἐν βίῳ ἴδριν ἔμεν.

τοῖα δὲ

τοῖά δὲ φραζομένῳ πλέθειν ἐμοὶ ἄμμορος αἰδοῦς
    πικροτέρη δόξεν τῷ θανάτοιο γυνή.
εἰδομένη κλόπιμον πολυώπις ἄρκυσι θυμόν.
    ᾧ θηρᾶτ᾽ ἀνδρῶν πλήθεα πόλλ᾽ ἀφρόνων.
φῦλα νοῦ ἀγρεὺς κεχρημένα ἠδ᾽ ἐραστάς,
    τῶν τε ἀσελγούντων ὄμμασιν οἷσι κρατεῖ.
δίκτυον ὡς κρύφα γὰρ φρεσὶν ἧς ὑποκάρδιον ἴσχει,
    οὕτως αἱ αὐτῆς δέσματ᾽ ἔασι χέρες.
καὶ ξυνάπαντα πέλει ὀλοφώϊα, ἡ μὲν ὄψις,
    ἠδὲ λάλημα, κακῆς ἔκγονον ἠδ᾽ ὑφρενός.
τῆς δ᾽ ἄτης περιλημμένον οἱ θεὸς ἄνδρα φυλάξει,
    ἀλλ᾽ ὁ δρόων αὐτῆς οὐχ ὅσι᾽ ἔασεθ᾽ ἕλωρ.
ταῦθ᾽ ὁ πανηγύρεων ἐμὲ φησὶ φερώνυμος, εὑρεῖν
    ἡ εὐγνωμοσύνη ἐξεδίδαξεν ἐμέ.
ὡς δὲ δοάσσατ᾽ ἐμοὶ συγκρίναθ᾽ ἀνδράσιν ἄνδρας
    καὶ παρὰ θηλυτέρας θηλυτέρῃσι βαλεῖν:
ἐκ μὲν χιλιάδος τινὰ φῶτ᾽ ἐξαίρετον εὗρον,
    οὐδεμίαν δ᾽ ἀγαθὴν χιλιὰς ἔχε κορῶν.
πρὸς τούτοις ἔγνων θεὸς εὐθὺν ὅτ᾽ ἔκτισεν αὐτός,
    μητρὸς τὰ πρῶθ᾽ ἧς ἐκγεγαῶτα βροτόν.
κεῖνον δ᾽ ἰθείης ἀλογοῦντα καὶ ὀρθοκελεύθου
    πάμπαν ὁδοῦ, σκολιῆς ἀτραποῦ αἰὲν ἐρᾶν.
καὶ τέχνας ζητεῖν τ᾽ ἠπεροπευέμεν ἄλλους,
    τοῦ τε διὰ σφείων πλείονα τῶν πρὶν ἔχειν.
τοὔνεκεν ἄλλος ἐπεὶ ἄλλοις εἴωθ᾽ ἐπιχειρεῖν,
    παρ θεοῦ ἀρκεῖται οἷς λάβεν οὔτις ὅλως.
τίς σοφίης ἐπέβη τόσσης, ἵνα κεν διακρίνῃ
    ταῦτ᾽; ἐξηγεῖσθαι τίς τάδε πάντα δάη;

# ΚΕΦΑ. κ.

Ἀγλαὸν ἡ σοφίη καὶ φαίδιμον ὄμμα παρίχει
τοῖς ἐπιτηδεύειν εὖ μιν ἐπισταμένοις.
αὐτὰρ ὁ αὐθαδίης ὀλοῆς πλέος, ἠδὲ ἀπηνὴς
ξὺν ἄλλοις ὀλέκει αὐτὸς ἑαυτὸν ἀνήρ.
πειθήμων τῷ ἄνακτι καθὼς δεῖ ἐχέφρονα εἶναι,
ἴσθι, χ' ὅσ' ἐντέλλει ἐν φρεσὶ σῇσι τίθει.
οὐκ ἐπὶ τοῖσδ' ἔμπης θεοῦ ὅρκια πίστ' ἀθερίζων,
ὡς ἀμελεῖς αὐτοῦ νήπιοι ὄντες ὅλως.
καὶ μὴ ἀπεσαίης κείνοιο διχοστασιάζων,
οὔτ' ὄπιν ἀζόμενος τοῦδ' ἔτι ὡς τὸ πάρος
μήτε σοὶ ἐμμενέειν ἀνομήμασ', ἀτασθαλέεντε
ἐν φρεσὶ νωλεμέως λευγαλέῃσιν ἄδοι.
ἐκ θεόφιν γὰρ ἄναξ μεγάλην ἐπιειμένος ἀλκὴν
λυγρά σε δρῶντα πάλιν δρᾶν δύναθ' οἷα θέλει.
οὐδ' ἄλιον κείνου ἔπος ἐστί πεθ' ὅττι κεν εἴπῃ,
οὔθ' αὕτως φωνὴν ἀδρανέουσαν ἵει.
ὅσσ' οὖν σοὶ στόματι προσάπτει καρτεροφώνῳ,
ἴσθι σὲ δεῖν θυμῷ οὐκ ἀέκοντι τελεῖν.
καὶ μὴ τολμῴη πείθεσθ' οἱ ἀναινόμενός τις
βαζέμεναι, διάτι δρᾷς τάδε, ἠὲ κέλῃ;
μᾶλλον ἀκέων δ' ἴσχων ἐντάλμασ' ὑπήκοος εἴη,
καί οἱ σκηπτούχῳ ἦρ' ἅτ' ἄνακτι φέροι.
καὶ γὰρ ὁ πειθαρχῶν προστάγμασ' ὄλεθρον ἀλύξει
δεινόν, ὃς ἔρδοντας πάντας ἀλιτρὰ μένει.
ᾧ τὸν καιρὸν ἀνὴρ προσεοικότ' ἐπίσταθ' ὁ θυμὸν
στήθεσ' ἐπιφροσύνης ἔμμορον οἷσι λαχών.
εὖ εἰδὼς ὥρην θεὸς ὅττι προώρισεν αὐτὸς
τῇ κρίσει ἀνδρομένης φρικτῇ ἀτασθαλίης.

καὶ

καὶ μισθὸν καθ' ἕκαστον ἑῶν ἀντάξιον ἔργων,
    ἢ μὲν τῶν ἀγαθῶν οἰσέμεν, ἢ δὲ κακῶν.
καὶ διὰ τοῦτο δυσημοριέων πλέος αὐτὸ τέτυκται,
    τοῖς μερόπεσσιν ὅλος ξισαλάνεσσι βίος.
ὅππως εἰδῶσιν θεὸν ἔκδικον ἰσχέμεν ὄμμα,
    πάντα δικαζέμεναι μελλέμεν ἔργμα βροτῶν.
εἰσὶν ὅμως πολλοί τοῖς οὐ μέλει ὠκυμόροισι περ,
    φρεσὶ προσελθόντων ἐν σφετέρησι κακῶν.
τοὔνεκα καὶ τῶν ἐσσομένων ἀδαήμονας αὐτούς,
    ἀπροϋπτος φθείρει πότμος ἐπερχόμενος.
οὐδεὶς γὰρ ζωῆς κρατέει βροτὸς ἧς κρατερόσπορος,
    οὔτε φύλαξ ψυχῆς ἐστί τις αὐτὸς ἑῆς.
οὔτ' ἐπιόντα μόρον κεν ἀπώσαιτ' ἄλκιμος ὤνηρ,
    πᾶν γὰρ ἐπιχομένου λείπεται τοῦδε μένος.
οὔτ' ἀναχάζοιτ' ἂν τῆσδ' αἰνῆς δηιότητος,
    ἣν ἐφάπαξ στήσει πότμος ἅπαντι βροτῷ.
οὔτ' ἀσεβοῦντα μάχης ἀσεβήμαθ' ἔθ' ἀνδρὸς ἐρύσαιτο
    τῆσδε, πάλιν δ' ὥσει· ὧν γὰρ ἔρεξε δίκην.
ταῦτά μοι ὡς μαθέειν ἦν ἐξεπίτηδες, ἑώρων
    πλεῖσθ' ὑπ' ἂρ ἠελίῳ παμφαεῖ ἀΐσυλ' ὅμως.
ἦν κράτει ᾧ πίσυνός τις ὑβρίζων πλησίον ἄλλον,
    ἣν δ' ὀλοὴν οὐδεὶς ᾧ ἀπάμυνε βίην.
χοἱ κακοὶ εἰρήνης ἀπέλαυον ἀκηδέϊ θυμῷ,
    ἣν δ' ἀνίη σφέτερος πᾶσ' ἀγαθοῖσι βίος.
καὶ τυμβευθῆναι πάλιν ἔδρακον ἄνδρας ἀλιτρούς,
    ὡς ἐπέκλωσε πέρας σφισὶ βίοιο θεός.
οἷς κατ' ἐνὶ ζωῇ σφετέρῃ πρωτεῖα φέρουσιν,
    οὐκ ὀλίγοι τιμὴν ὡς ἁγίοισι νέμον.
τῶνδ' οἱ ἐπιχθόνιοι ἐπὶ πάγχυ λάθοντο θανόντων,
    ἐν τῶν τηΰσίων ὅττι καὶ αὐτὸ πέλει.

ὅτι μὴ αἶψα δίκην διδόασι χείλιοι ἄνδρες
    ὀψὲ δὲ τῆς σφετέρης πολλὰ ἀτασθαλίης,
κῆρ ἀδεῶς τολμᾷ τὸ βροτήσιον αἴσυλα ῥέζειν,
    θεῖον ἀλεύασθαι οὐκ ἀλέγοντε χόλον.
αὐτὰρ κᾂν νήποιν ἀλιτήματα μυριάκις τις
    ῥεξάμενος, δεινὸν τῶνδ᾽ ἕνεκ᾽ οὔτι πάθῃ,
μακρόβιος τελέθων ἀτυχήματος ἐκτὸς ἅπαντος,
    γαυριόων ἔργων εὐδρομίῃτε κακῶν:
οἶδ᾽ ἔν τις μάκαρας μούνους εἰς αἰὲν ἔσεσθαι,
    τοὺς ἐπιζομένους, ἁζομένουσε θεόν.
καὶ τὸν φαινόμενον πολλοῖς εὐδαίμον᾽ ἀλιξὸν,
    δύσμορον ἐν πρώτοις, καὶ βαρύποτμον ἔμεν.
κᾂν δολιχὴν λαχέειν οἱ ζωὴν ἐνθάδε δόξῃ,
    ἧς πεμπαζόμενος πόλλ᾽ ἔτε ἡλικίης:
αὐτίχ᾽ ὅμως βίος ὀλλύμενος μεταμώλιος αὐτοῦ,
    οὐδὲν, ἀποιχομένη ὡς σκιὴ, ἔσσετ᾽ ἔτι.
ἓν πάλιν ἀνδρομέοις ἀκίχητον δ᾽ ἄλλο λογισμοῖς,
    θαυμασόντε μάτην τοῖς μερόπεσιν ἴδον.
τοῖς ἀδίκοις πάσχειν μὲν ἐοικότα λυγρὰ δικαίους,
    τερπνὰ δὲ τοῖς ἀγαθοῖς ἄνθι πρέποντα, κακούς.
ὡς ποιησάντων ἀγαθῶν κακὰ, ἐσθλὰ πονηρῶν,
    σφῶν τε κομιζόντων ἄξια ἀμφοτέρων.
τῶν δ᾽ ὡς γινομένων μαστευέμεν αἴτια θνητὸν
    ἄνδρα ματαιοφρόνως, ἐς ἀκράαντα πονεῖν.
τοὔνεκα βελτίστως μοι ζῆν οἱ ζῶντες ἀλύπως
    δόξαν, ἰαινόμενοι οἷς σφιν ἔδωκε θεός.
ὄλβου ἀφειδοῦντες σφετέρου τε, ὅσος κεν ὑπάρχῃ,
    γαστέρι πρὸς δαπάνας, ἧς ἐχάτιζε τροφῆς.
τοῦτο γὰρ ἐν γαίῃ καμάτων μόνον ἐς ἀμεγάρτων
    πάντεσσιν κέρδος σῖτον ἔδουσι βροτοῖς.

ταῦτα

ταῦτα φρονοῦντα πάλιν μοχθήματα πάντα μεταλ=
οὐ μὸς ἐμὸς ἀνδρομέου θυμὸς ἄνωγε βίου. (λῆμ
ὅττι δρόων καμάτοις κατατρυχομένους τινὰς αἰνοῖς,
καὶ τῇ ἀϋπνίῃ κοιλιδιῶντας ἴδον.
παντοῖ' ὀσσόμενος θεότευκτά τε ἔργματ', ἐπέγνων
εἶν ἀλφιστάων οὐδ' ἐν ἀλωτὰ βροτῶν.
ὅσσον θ' εὑρίσκειν μογέει τάδε τὶς φρεσὶ μᾶλλον,
ἧττον ἐκεῖν' αὐτὸν τετμέμεν οἷον ἔμεν.
κἂν φαίη πολυΐδρις ἐὼν περὶ οἶδα νοῆσαι,
ἄφρων, καὶ τούτων ἐστὶν ἀΐδρις ὅμως.

# ΚΕΦΑ. θ.

Τοῖάμ' ὀρεχθοῦντι κραδίῃ θαμά, δῆλον ἔγεντο,
πάντ' ἔμμεναι θείης δράματα ταῦτα χοροῦ.
καί μιν τῶν τε σοφῶν κρατέειν ἅμα, τῶν τε δικαίων,
τῶν τ' ἀμελῶς ζώντων πάγχυ δικαιοσύνης.
μήτε τι ἐν γαίῃ ζαθέης ἀπάνευθε προνοίης
ἢ κακὰ συμβαίνειν, ἢ πάλιν ἐσθλὰ βροτοῖς.
εἰ καὶ τοῖς πλείστοις τὰ βρότεια τυχηρὰ τετύχθαι
πάντ', ἄκριτ' ἐν τούτοις πόλλ' ὁρόωσι, δοκεῖ.
τίς γάρ τοι ἑταίρου ἐθάδ' ὅς τε νοήματ' ἔθ' οἶδε;
τίς φίλον ἢ ἐχθρὸν τόνδ' οἱ ἐπίστατ' ἔμεν;
τίς δ' ἔθ' ἑ εἰρήνης ἀπολαύσειν δηθ' ἐρατεινῆς,
ἢ ὃν ἐγειρόμενον σῖγα προέγνω ἄρην;
κοινὰ πάθη πάντων τὴν μητέρα γαῖαν ἐχόντων,
καὶ χαμαὶ ἐρχομένων, πηλογόνων τε βροτῶν.
χ' ἡ αὐτὴ ὁσίων μοῖρ' ἐστὶν ἅμ', ἠδὲ βεβήλων,
καὶ μύσους καθαρῶν, παμμιαρῶν τε βροτῶν.

οἷά τε

διά τε συμβαίνει ῥέξαντ' ἐπιβώμιον οὐδέν.
τοῖα δὲ χρὴ ὡς κῆας μηρία πολλὰ φέρει.
χρὴ ὡς ὁ χέρ δράσας πόλλ' αἴσυλ' ὀϊζύας αἰνάς,
ὡς ῥέξας, ἀτυχής ἐστιν, ἐναίσιμ' ἀνήρ.
χρὴ ὡς ἄτης ἐνέκυρσ' ἐπίορκον ὁ πολλάκι ὀμόσσας,
ὡς ἂρ ὁ εὔορκος λυγρὰ καὶ αὐτὸς ἔχει.
πᾶσαν ἐπ' αἶαν, ὅσην ἐπικίδναθ' ἑκηβόλος ἠώς,
χείριστον φαίην τοῦτό κε μοῦνον ἔμεν.
ἶσά γ' ἀνισοῦσιν πάσχειν, καὶ ὅμοι' ἀνομοίους,
καὶ ξυνὸν πάντων πάντοθι πότμον ἔμεν.
τοὔνεκ' ἀτασθαλιῶν μάλα πιμπλάνετ' ἀνδρομέον (κῆρ,
ἡ ματίη βροτέας ἀμφιβέβηκε φρένας.
τῆς τε κακουργίης θνητοῖς οὐκ ἔστιν ἐρωή,
εἰσόκε μοῖρ' αἰνὴ σφᾶς θανάτοιο κίχῃ.
διπλῆ ἐπεὶ δὲ τρίβος βιότου μερόπεσσι τέτυκται,
ἡ μία τῆς ἀρετῆς, ἡ δ' ἑτέρη κακίης.
καὶ τὸ θνησκέμεναι πάντεσσι πεπρωμένον ἐστί,
οὔσιπερ ἀνδραγάθοις, καὶ μὴ ἀπειροκάλοις:
ἢ ῥὰ βίον χρὴ ἄεργον ἄγειν τὸν ζῶντ' ἐπὶ γαίης
πάμπαν, ἀνέλπιστον κρείττονος ὄντα τύχης;
οὐδαμά. θαρσαλέον δ' ἐχέμεν κέαρ ἦτορος ἔνδον,
καὶ παρὰ πάνθ' ἕρδειν ὅσσ' ἐπέοικε βίον.
κἂν μὴ εἴκελος ᾖ τῷ ἀλκίῳ αἰνολέοντι,
ἀλλὰ μόγις σκύλακι προσφερῆ ἰσχὺν ἔχῃ.
ἤϋτε γὰρ τῇ ἐν αἴθωνα λέοντα βίηφι,
νεκρὸν ὑπερβάλλει ζωὸς ἔτ' ἂν ὁ κύων:
οὕτως ἔγκληρος ζωῆς ἔτι καὶ μάλ' ἄκικυς,
τοῦ τεθνειῶτος φέρτερός ἐστι βροτοῦ.
καὶ διὰ τοῦτ' αὐτὸ ζώοντα χρὴ ἄλκιμον εἶναι,
ὅττι τεθνήξεσθαι οἶδ' ἐλιπόντα βίον.

τῶνδ'

τῶνδ᾽ ἐπὶ τῆς γαίης οἱ νεκροὶ ἴσασιν ἔτ᾽ οὐδέν,
    οὔτ᾽ ἔργων μισθοὺς ἄξι᾽ ἔτ᾽ εἰσὶ λαβεῖν.
τὴν γὰρ σφῶν μνήμην ἅμ᾽ ἐκείνοις γαῖα καλύπτει,
    ὥς σφισιν οὔτ᾽ ἐχθροὺς εἶμεν ἔτ᾽, οὔτε φίλους.
οὐδ᾽ ἕνα τε κτεάνων σφετέρων βασκαινέμεν αὐτοῖς,
    ἀκλήροις πάντων οὐσίης, ὅσ᾽ αἶα φέρει.
τίπτ᾽ οὖν δ᾽ ἰσάζεις; ἴθι καὶ πίθι οἶνον ἀκηδὴς
    τὸν σέθεν, εὐφρόσυνος σόν τε φάγ᾽ ἄρτον ἐών.
εὖ τόδ᾽ ἐπιστάμενος, κἀν φρεσὶ τῇσι σάφ᾽ εἰδώς,
    μυσάττεσθ᾽ ἔργων τῶν σέθεν οὔτι θεόν.
οἴχνεε λευχείμων, περιλαμπέα τ᾽ ἔννυσ᾽ ἀν᾽ ἦμαρ,
    βάλσαμον εὐστέφανόν σου βρέχοι ἠὺ κάρην.
τέρπεο συζυγίῃ μετὰ κουριδίης ἀλόχοιο,
    καὶ φέρε, ὅσσα φέρειν κέκλεθ᾽ ὁ σεμνὸς ἔρως.
ᾗτε τὰ πρῶτ᾽ ἐμίγης φιλότητι, καθὼς θέμις ἐστὶ,
    γήραος ἠπεδανοῦ μέχρι φύλαττε μόνην.
μέσφα τε πρὸς τὸ πέρας βιότοιο μινυνθαδίοιο,
    οὗ ἐπὶ τῆς γαίης σοὶ μετέδωκε θεός.
τοῦτο γὰρ ἐστὶ κτέας τὸ τεὸν, καμάτων τε τὸ κέρδος,
    οἷς θεοῦ ἀχθοφορεῖν ξυχόμενόν σε χρεών.
ὅσσα δ᾽ ἔοι ἐρδέμεναι, ὅσ᾽ ἔχεις μετὰ χερσὶν, ἄοκνος,
    καὶ θυμὸν ῥέξον πρόφρον᾽ ἐνὶ φρέσ᾽ ἔχων.
ἔργων γὰρ τοίων, ὧν μεσόττατος βίος ἐστὶ,
    (μεσόττρον γίνεσθ᾽ εἰδ᾽ ὠατ᾽ ὄνην πλέον)
εἰν ἀΐδαο πύλαις, οἷ ἐπείγεαι ὠκὺς ὁδοῖο,
    οὐ νόμος, οὐ χώρη, οὐ λόγος ἔσσετ᾽ ἔτι.
ἄμμορα γὰρ σοφίης νεκύων ἀμενηνὰ κάρηνα,
    καὶ νοῦ, καὶ τέχνης λείπεται, ἠδὲ βίης.
εἶτ᾽ ἐδάλω τὸ ποδαρκῆ ἔμεν μὴ πρὸς δρόμον ἀρκεῖν,
    μήτε πρὸς ὑσμίνην, ἄνδρα πνέοντα μένος.

μήτε

μήτε τιν' ἄλφιθ' ἑοὶ πολύμητιν ἐόντα περ εὑρεῖν,
μήτ' ὄλβον, πύκα περ φῶτα φρονοῦντα, μέγαν.
μήτε χάριν, τεύχειν πολυδαίδαλ', ἔθ', εἰδότ', ὀπηδεῖν,
πάντων δ' ἂρ καιρὸν τῶνδε, τύχη τε κρατεῖν.
οὐδεὶς ἀνθρώπων ἦν μᾶλλον κῆρα προέγνω,
ἰχθύες ἢ γρῖπον, καὶ τὰ πετεινὰ βρόχον.
ὡς ἰξὸς δ' ὄρνιθα, τὸ δίκτυον ἰχθὺν ἀγρώσσει,
ὡς βρότον ἀπροΐδ' ὡς αἱρέει ἅμμα μόρου.
ἀλλ' ἔμπης τινὰ φραδμοσύνην ὑπόλοιπον ἔτ' ἔγνων,
οὔτε τυχοῦσαν, ἐμοὶ ὥσγ' ἐνὶ φρεσὶ δοκεῖν.
ἄστυ τι οὐκ εὐτείχεον ἦν, οὔτ' εὐρυθέμεθλον,
καὶ πολιητάων οὐ μέγα πλῆθος ἔχον.
τοῦτό τις ἔσθ' ὅτ' ἄναξ πολιορκήσ' ἀνδράσι πολλοῖς,
πυργώσας τε πέριξ πᾶν ἀπέκλεισε μέρος.
εἷς δὲ πένης μὲν ἔην ἔντοσθεν ἔθ', εὐφρονέων δὲ
φὼς, ὑπερασπιστὴς πατρίδος οἷος ἔης.
μήδεσι γὰρ πυκινοῖς βροτολοιγὸν ἀπήλασ' ἄρηα,
ὃν τὰ μαχητάων ὅπλα μὴ οἷά τ' ἔην.
ἀλλ' ἔμπης καθάπερ πάρος, ὡς μετέπειτ' ἀμελήθη,
ἥ τε συμβαίνειν ἀκτεάνοισι φιλεῖ.
τουτάκι ἔμ' ἔγνωσαι, σοφίην περιέμμεναι ἀλκῆς,
καὶ κράτος ἰσχυέμεν μήτιδος οὐδὲν ἄνευ.
ἀνδρὸς δ' αὖ λόγος ἦν ἀκτήμονος ἐν πόλει οὐδεὶς
τοῦδε, καὶ εὐπειθὴς οὔτις οἱ ἔσκεν ἔτι.
καὶ γὰρ ἔπη χώραν μοῦνον σοφοῦ ἀνέρος ἴσχει,
τῆς ἀγανοφροσύνης πὰρ μερόπεσσι φίλοις.
καὶ παρὰ τοῖσδ' αἰεὶ πλέον σθένει οὐκ ἀδιδάκτοις,
κρειόντων μάργοις πὰρ κρατερῆς ἐνοπῆς.
τεύχε' ὑπερβάλλει σοφίη τὰ ἀρήϊα πάντα,
κνημῖδας, θώρηκ', ἀσπίδας, ἔγχε', ἄορ.

ἀλλ'

ἀλλ᾽ ὁ ἀτασθαλέων ἀδεῶς, καὶ αἴσυλα ῥέζων,
πολλάκι παμπόλλων εἰς φθόρος ἐστὶ βροτῶν.
ὡς μύρον εὐῶδες μυῶν ὀλοφώϊα φῦλα
φθείρει, καὶ μιαρὸν τεύχει ἅπαντα ῥύπον:
ὣς ὑπὸ δυσκελάδων κακοχάρτων τ᾽ οὐκ ὀλίγ᾽ ἀνδρῶν
φθείρετ᾽, ἐν ἀνδρομέῳ, πολλάκις ἐσθλά, βίῳ.
τοὔνεκα γοῦν ἀπινυσσέμεναι δοκέειν ποτ᾽ ἄμεινον
τοι κεκλῆσθ᾽ ἐθέλειν ἄλκιμον, ἠὲ σοφόν.
κῆρ θ᾽ ὑπὸ δεξιτερῆφι φορεῖ φρόνιμός τις ὑπάρχων,
οὔτ᾽ ἐπιθυμιέων δοῦλος ἔθ᾽ ἐστὶν ἀνήρ.
ὡς πάλιν ἀνδρὶ τὸ κῆρ ὑπ᾽ ἀριστερῇ ἄφρονι ναίει,
οὐκ εἰληχότ᾽ ἄγον τὸν λόγον, ἀλλὰ πάθος.
ἔστι δὲ τῶν ἰδίων καὶ τοῦτο χαλίφρονος ἀνδρός,
πάντας οἴεσθαι μᾶλλον ἔθ᾽ ἀφραδέειν.
εἰ καὶ μωρότατος μωρῶν πέλετ᾽ αὐτὸς ἁπάντων,
κἂν πραπίδεσσ᾽ ὑγιὲς μηδὲν ἔῃσιν ἔχῃ.
καὶ πυκινοφροσύνης ἐργάζεται ἔμμορον οὐδέν,
τηϋσίως δὲ λίην, καὶ δίχ᾽ ἅπαντα νόου.
ἤν σέ τις ὑβρίζῃ ὑποδρήνως ἀλκὶ πεποιθώς,
σεῖο τ᾽ ἀναλκείην βαίνῃ ἐφ᾽ ἑσσαμένου.
μὴ χόλον ἀψάμενος βαρὺν αὐτίκα κηρόθι μᾶλλον,
σκύζεο, μὴ δῶκον λεῖπε ἐπὶ τῷδε τεόν.
πολλάκις εἰκαθέμεν γὰρ ὀνήσιμον, ἠρεμέειν τε
καὶ τῶν δεινοτάτων ἐστὶν ἄκημα κακῶν.

## ΚΕΦΑ. ι.

Πῆμα μέγ᾽ οὐ σπάνιόν τ᾽ ἄρχων ὁ ἀΐδρις ἰδ᾽ ἄφρων,
οὐ κατὰ τὴν ἀρετὴν ἀξιότητα νέμων.

οὐκ ἰδα-

οὐτιδανοὺς βριάων δὲ μάλ', εὐδοκίμους τε χαλέπτων,
τῶν τε σοφῶν ἀλογῶν, τοὺς ἀφραδέας τε τίων.
εἶδον ἐλαύνοντας δούλους ἐριαυχέας ἐφ' ἵπποις,
ὡσεὶ κρειόντων μὴ τόδ' ἔηκε γέρας.
καὶ βαδίζοντας λαῶν αὖ ποιμένας εἶδον,
ὡς μὴ πεζεύειν δουλοπρεπέστερον ἦ.
εἰς τάφρον ἐμπίπτει ὁ χέρεσσί μιν ἧσι λαχήνας.
καὶ φθινύθειν μέλλει οἷσι βρόχοισιν ἁλούς.
καὶ τὴν αἱμασιὴν καθελόντ' ὄφις ἰοβόλος δὴς
δήξετ' ὀδὰξ, αὐτοῦ ὧκ' ἐπιμαρψάμενος.
λᾶαν ὁ ἀλλαχόσ' εἰν ὁρίοισι τεθέντα κυλίνδων,
κινδυνόντ' ἐπάγει, καὶ πόνον αἰνὸν ἑοί.
χ' ὠ ξυλόεργος ἀνὴρ σχίζων ξύλα, πολλάκις αὐτὸς
τῶνδε πρὸς οὐτασθεὶς, ἄλγος ἄτλητον ἔχει.
ὡς ὅταν ἀμβλύνῃ, κατέδητε σιδήριον ἰὸς,
χρὴ ἀκονηθῆναι εὖ μάλ' ἐκεῖνο πάλιν:
οὕτως ἐφεσπομένην πόνος οἱ ἀμέγαρτος ἐγείρει
φραδμοσύνην, σπουδῆς ἔκγονον οὐκ ὀλίγης.
πολλὰ κακοσομέων ψυθιριστὴς τοὺς ἀπεόντας,
καὶ σφισιν οἷς τεύχων χείλεσι πήματα λάθρῃ:
τῇ κρύφα δακνούσῃ ἐναλίγκιός ἐστιν ἐχίδνῃ,
ἢ ὄφει, ἐξ ἀφανοῦς ὃς προέηκε βέλος.
πολλὴ ἔπεσσι χάρις πυκυμήδεος ἀνδρὸς ὁπηδεῖ,
γηρῶνθ' ὁ φρονέων εὖ, χαρίεσσαν ἵει.
ἀλλ' ὁ χαλιφρονέων μιν ὅμως, καὶ χείλεσι πίνει
οἷσι προθυμηθεὶς τοῦδε, κενόσπορος ἐών.
οὐδὲν ἡ ἀφροσύνη τὰ πρῶτ' εἰρημέν' ὅ ἐστι,
δεύτατα δ' ἀφραδίης ἔκγονα κῆρα φέρει.
μωρὸς μὲν πολύμυθος, ἀτὰρ κενεηγόρος ἐστὶ,
θροῦν τε ἵησι πολὺν, νοῦν δὲ λαχόντ' ὀλίγον.

οὔτε

οὔτε πρόσω λεύσσουσ' οἱ πηλόγονοι οὔτε ὀπίσω,
ὡς τῶν μελλόντων σφᾶς τινα γνῶσιν ἔχειν.
οἱ ἐπιχειροῦντες κενεοῖς μάλα δύσπονοι ἄνδρες
εἰσ', ἐντ' ἀχρείοις δυστυχέουσι κόποις.
καὶ ὡς πόλιν εἰσαφικέσθ' εὐτείχεον οὐκ ἐδύναντο,
οἱ τῆς λαοφόρου νήϊδες ὄντες ὁδοῦ:
ὣς δ' αὔτως πόλεων πλανόωνται ἀπόπροθι, λυγρὰ
ἔνθα καὶ ἔνθ', ἀνδρῶν μήδεα τῶν ἀφρόνων.
ὦ μελέης γαίης σκηπτοῦχον ἄνακτα λαχούσης
παιδίον, ἡγεμόνας τ' ὄρθρια δαινυμένους.
ὦ περὶ πασάων κείνης εὐδαίμονος αὖθις,
εὐγενέ' ἣ κεδνὴ δῶκεν ἄνακτα φρόνις.
καὶ ἧς πρὸς ἀριστείην φιλέουσι τὰ περὶ ἀριστᾶν,
οὐ πρὸς ἀναλκείην δ' οἱ μεγάλ' ἡδυπαθεῖν.
ὄκνος ἀμαλδύνει τὸ τέγος τῶν ἐνναετήρων,
τῶν τε δοκῶν λύει τὴν συνάφειαν ὅλην.
τοῖς τε μὴ ἐργάζεσθ' ἐθέλουσι διάβροχα πάντα
τοι μεγάροιο, καὶ ὑγροῖς γίνετ' ἐφικτὰ νότοις.
οὕνεκα σφιν δαιτὸς πολυτερπέος ἥδιον οὐδὲν,
τοι, τ' ἐν λαιμῷ ἀεὶ οἶνον εὔφρον ἔχειν.
πρὸς τάδε δὴ ἀλαοὶ τὸν νοῦν κατὰ χρήμασι χρῶνται,
οἷς δ' οὐκ ἐν βροτέῳ γίνεθ' ἅπαντα βίῳ.
μή σοι ὀρεχθείτω περὶ σοῦ κάκ' ὁ θυμὸς ἄνακτος,
λέκτρ' ἀναβὰς μεγάλους μὴ διάσυρε λόγοις.
κἂν γὰρ μὴ βροτὸς ᾖ τῶνδ' ἄγγελος ἢ ἐπιΐστωρ,
ὄρνις ὑπουράνιος πάνθ', ἅτε μάρτυς, ἐρεῖ.

Δ ΚΕΦΑ.

Βάλλε τεὸν μὴ φειδομένως, βάλλ' ἄρτον ἀόκνως,
ὡς ἰχθῦσιν ἕλως, εἰς ἰοειδὲς ὕδωρ.
καὶ πάλιν εὑρήσεις καὶ τόνδε μετ' ἤματα πολλὰ,
κέρδος· ἐπεὶ μέγα τὰ προῖκα δοθέντα φέρει.
μὴ ἀνελευθερίη ἐχέτω σέ τις, αὐτὰρ ἀφειδῶς
παντὶ μετὰ κτεάνων δὸς χατέουσι τεῶν.
οὐ γὰρ ἔτ' ἐσόμεν εὖ φρεσὶν οἶσθα κακὴ, οὔτε σοὶ ἦμαρ
ἤτοι σήμερον, ἢ αὔριον οἷα φέρει.
ἣν βεβαρημένη ἐν νεφέ' ὕδασ' ὑπ' αἰθέρι πολλοῖς,
χειμάρρους ἐπὶ γῆν ἐκπαραχεῖμα χέει.
εἴτε πρὸς ὑγρὸν ἀέντα νότον πιλνώμενον εἴτε
πρὸς βορρῆν νεύσῃ δένδρεον ἀκραέα:
εἰς μέρος ὁππότερον πέσῃ, ὡς πέσεν ἐν χθονὶ κεῖται,
καὶ μεταβαλλέμεναι οὐ δύναθ' ἣν ἐθ' ἕδρην.
νῦν ἀνέμοις προσέχων ἀκριβέστερον ἢ δεόν ἐστι,
σπέρμα κενοῖς δώσει οὐδ' ἔπι τ' οὐδὲν ἀγροῖς.
χὠ δεδιὼς ὄμβρους, νεφέων τε μέγ' ὑψόθι βρῖθος,
εἰς καλιὴν ἄξει ἐν θέρει οὐδὲν ἑλών.
ὡς δὲ ἄημ' οὐκ οἶσθ', ὅθεν ἔρχεται, ὅππη ἀναχωρεῖ,
ὅσων τ' ἐν μήτρῃ τὴν πλάσιν ἀνδρομέων:
οὕτως ἰδμοσύνην θεοκτίστων οὐδενὸς ἔργων
ἀρκεῖ, ὧν πάντη πάντα τελεῖ ἐστὶν ἔχει.
βάλλ' ὅταν ὥριον ᾖ σὸν πρωῒ σπέρμ' ἐπ' ἄρουραν,
μήτ' ὀψὲ ὀκνηρὴ χεὶρ πάλιν ἡσυχέθ' ἔοι.
κρείττων ὁππότερος γὰρ ἐν σπόρος, ἀδρότερός τε
οὐδενὶ εἰδέμεναι γειοπονοῦντι δοθῆ.
ἢν δὲ τὸ ὄψιμον ὃν τῷ πρωΐῳ ἰσοφαρίζῃ,
καὶ μάλα καρποφόρον σοὶ πέλῃ ἀμφότερον,

μείζονα

μείζονα δ᾽ ἢ θερίσῃς δημήτερος ἱερὸν ἀκτὴν,
    οὔτ᾽ ἀτυχὴς ἔσεαι ὧν σε μάλ᾽ εἶχε πόθη.
εἰσιδέειν γλυκερὸν τε φόως τερψίμβροτόν ἐστι,
    χαίρειν ἠελίου ὄμματ᾽ ὁρῶντα σέλας.
εἰ καὶ πουλυετὴς γεγονὼς ἐχαρίσατο τερπνῶν
    παντοίων κραδίῃ πολλά τις ἤμαθ᾽ ἔτη:
λησάμενος πάντων τῶν γάννυτο κῆρ ἀπολαύων,
    τῶν λυπρῶν μνήμων μοῦνον ἔτ᾽, ἐστὶν ὅμως.
καὶ βίον αἰάζει μάλ᾽ ὀϊζυρόν τε, πλέον τε
    αἰνῶν παμπλείστων, ἀργαλέων τε κακῶν.
μαρτυρέων μεταμώλι᾽ ἔμεν θυμήρεα θνητοῖς,
    ὧν ἄρα χρὴ ἐπιὼν αὐτὸν ἄμορσε χρόνος.
ὄφρ᾽ οὖν ἄνθος ἔχεις νέος ὢν πολυήρατον ἥβης,
    τερπωλῆς γανόων φείδεο μηδεμιῆς.
ἥδεο δὲ ψυχὴν, βροτὸς καθ᾽ ἣν ὥσκε δύναιτο,
    δόστ᾽ ἐρίηρα βλέπειν ὄμμασι, κῆρι φιλεῖν.
οὐκ ἔμπης ἐπιλησάμενος, θεὸς εἰς κρίσιν ἄξει
    ὅττι σ᾽ ὁ ἰθυκρίτης ὀρθοδικός τε πέλων,
καὶ σε λόγον δώσειν μεμνημένος οἱ περὶ πάντων,
    ὅσσ᾽ εὖ ἐν ζωῇ εἰργάσω, ἠὲ κακῶς,
εἶργε χόλον θυμοῦ, κακὸν ὁπλοτέροισιν ὀπηδόν.
    σώματος, ὅσσα βλάβην οἷά θ᾽ οἱ ἐστὶ φέρειν.
κλεὸν ἡ νεότης γὰρ χρῆμα τέτυκτ᾽, ἀφραδές τε,
    ὡς πρόσω ἡ ζωὴ τῆσδ᾽, ὀπίσω τε βροτῶν.

Κτίστορος οὖμ μνήμωμ σέθεν ἴσθι, σέβου τε μιμ ἁγνῶς,
    ἡ χλόη ἡλικίης ὄφρα τέθηλε τεῆς.
πρίμ σε ἐπελθέμεναι, τὰ περιπλομένωμ ἐνιαυτῶμ
    ἔρχεθ' ἅπασι βροτοῖς, ἤματα πλεῖα δυῶμ.
τῶν πέρι κεν φαίης, οὐκ ἐστί μοι ἦδος ἐν αὐτοῖς,
    ἀχθομένῳ τόσσαις ἀθλιότησι φρένας.
πρίν τε γενέσθ' ἀχλυώσοι, νύκτα τε πάντα κελαινὴν,
    οὔτε σ' ἐπαυγάζειμ ἥλιομ, οὔτε φάος.
καὶ σέλας ἐκλείπειμ πολυειδέος ἠὺ σελήνης,
    ἄστρα τε πάντ' ὀρφνὴν οὐρανόπηκτα πέλειμ.
καὶ τὰ νέφη νοστεῖμ μετὰ ὑετὸμ ὑδατόεντα,
    καὶ τρύχειμ σε ἀεὶ ἐκ κακοῦ ἄλλο κακόμ.
ἤματι τῷδε φύλακας κρυερὸς τρόμος ἴσχει ἅπαντας,
    τοὺς οἶκομ φρουρεῖμ εὐαλάπαδνομ ἔδει.
καὶ οἱ στιβαροὶ ὀκλάζουσ' ἐπὶ δόχμια, δευόμενοι ἀλκῆς,
    ὄργανα παῦρα τ' ἔχουσ' ἴσα τ' ἀγεῦσα μύλη.
πάγχυ τε μαυροῦνται δι' ὀπῶμ οἱ νωῒ βλέποντες
    πάντ' εὖ, ἀμβλώπες ἔμμοροι οὐδεμιῆς.
τῶμ ἔξω τε θύραι κεκλεισμέναι εἰσὶμ ἀγυῶμ,
    καὶ ἡ δέσποιν' ἀδινὴν γῆρυν ἵησι μύλης.
πρὸς τήν τ' ὀρνίθωμ φωνὴν διεγείρεθ' ὁ κνώσσωμ,
    καὶ αἱ θυγάτρες πᾶσαι γρῆες ἔασι μελῶμ.
ἠδὲ τὰ ἄκρα ὄρεα, προβιβάντα τε σείετ' ἐν οἴμοις,
    χνῷ τε ἀμυγδαλινῷ πᾶσα τέθηλε κόμη.
κάμπτουσίν τ' ὤμους αἱ ἀκρίδες ἀχθοφοροῦσαι,
    καὶ μὴ ἔθ' ἡ λιπαρὴ ὄσι τράπεζα φίλη.
τούτωμ γινομένωμ ἐπεὶ βροτὸς ᾔθετ' ἀβληχρὸς
    πᾶμ δέμας, οἱ θάνατομ προσαδὸμ ἔμμεν ὁρᾷ.

καὶ

καὶ τότ᾽ ἀπικόμενος ζωῆς τῆς ἐνθάδε, μέλλει
   δῦναι ἀνοστήτους εἰς ἀίδαο δόμους.
χ᾽ οἱ γοεροὶ θανάτου θεράποντες ἑ ἀμφιπολοῦσιν,
   οἷς ἀλαζέμεναί μιν προθύρῃσι μέλει.
εἰσόκεν ἀργύρεος βρόχος οἴχοιτ᾽ ἄνδιχα τμηθεὶς,
   πηγῆσε χρυσῆς μηκέτι νᾶμα ῥέοι.
κλασθείη τε τὸ ὑδροχόον πρὸς τὸ φρέαρ ἄγγος,
   χ᾽ ὡ ἐπὶ τὸν λάκκον σῶς τρόχος οὐκέτ᾽ ἔοι.
καὶ μέθ᾽ ὁ χοῦς στρεφθείη ἑὴν εἰς μητέρα γαῖαν,
   ἔνθεν ἄρ᾽ ἔσθ᾽ ὅτε γῆ κ᾽ αὐτὸς ἐλήλυθ᾽ ἐών.
πνεῦμα δὲ ἀμβαίη εἰς πατρίδ᾽ ἐθ᾽ οὐρανὸν αἰπὺν,
   πρὸς θεὸν, οὐρανόθεν τοῦδε πάρ᾽ ἀνδρὶ δοθέν.
ἠλίθι᾽ ἐστὶν ἅπαντ᾽, ἀνεμώλια πάντ᾽ ἐπὶ γαίης
   ἐστὶν, ὁ ἀγρομένοις φὼς μετὰ φησὶ πρέπων.
οὔνομά θ᾽ ὁ κλειτὸν δημηγορίησι κιχήσας,
   ᾗς ἔνι χρήσιμ᾽ ἐὸν πόλλ᾽ ἐδίδαξε λεών.
οὐ πυκινὰ φρονέειν γὰρ ἐνὶ φρεσὶν ἦσ᾽ οἱ ἀπεχρῆν
   μυρία τε πλείστοις ἴδμεν αἶσα βροτοῖς:
ἀλλὰ πολυφροσύνης φιλοπευθεῖ τῆς ἐθ᾽ ὁμίλῳ
   κοινωνεῖν, αἰεὶ οἱ περὶ πολλοῦ ἑὴν.
τοὔνεκεν οὐκ ὀλίγας ἀόκνως ζήτησε μεταλλῶν
   γνωμολόγους, κ᾽ αὐτὸς τεῦξ᾽, ὑποθημοσύνης
εὑρών τε χρηστῶν πάμπολλα διδάγματα μύθων,
   χρηστὰ διὰ βραχέων καὶ τάδ᾽ ἔγραψε βροτοῖς.
οἷς κέ τις ἰθύνῃ βίον εὖ τὸν ἐθ᾽ οὐκ ἀπιθήσας,
   οὐδὲν ἐπεὶ ψεῦδός σφιν, δόλος οὔτις ἔνι.
ἀλλὰ φρέν᾽ ἀνδρομένην εἰς εὐδόκιμ᾽ ἔργματ᾽ ὀξύνει,
   προτρέψασθ᾽ ἀρετῶν πρὸς κλέος εἰσὶν ἅπαν.
τοὔνεκα βουκέντροισι σοφῶν τάδε ῥητὰ, καὶ ἥλοις
   οὔκεν ἁμαρτοίη φὰς ἐπεικελ᾽ ἔμεν.

ἀλλ' εἰ καὶ πολλοὶ ξυνὸν ἐπισάττοντες ἔγραψαν,
    δόγματα, πάντ' ἔμπης ποιμνίος ἐστὶν ἑνός.
τοῖς ἀρκούμενος ὦ φίλε παῖ σὺ πλείονα φεῦγε
    γράμματα, μὴ σπουδῆς ἄξι' ἐόντα τεῆς.
μυρία γὰρ πλείη καὶ ἀπειρέσι' αἶα γραφόντων
    βιβλία, τῶν ὄφελος μηδενὶ μηδὲν ὅμως.
καὶ τὸ μακρηγορέειν διὰ πολλῶν σώματ' ἐπαχθές,
    ἔκ τε κενοῖ κράτεος τοισφετέροιο μέλη.
νῦν κεφάλαιον ὅλης διδαχῆς ἐνικάτθεο θυμῷ,
    ὅττι σαφῶς ἐν παύραις σοὶ σελίδεσιν ἐρῶ.
νείοθεν ἐκ κραδίης ἐποπίζεο τὸν θεὸν αἰεί,
    ἔντε μὲν ἀνδρομέῳ οἷς προσέταξε γένει.
τοῦτο γὰρ ἀνθρώπων ἐπὶ γῆς γέρας ἐστὶν ἁπάντων,
    τοῦτο μόνον πᾶσι δρᾶν ἐπέοικε βροτοῖς.
ἰθείῃσι δίκῃς ἐπειὴ ξυνάπαντα δικάζειν,
    τῶν κραδιῶν ἴσωρ, μέλλει, ὁ οἶος ἐών.
εἰς φάος, εἴς τε κρίσιν προάγων, ὅσα νὺξ ἐρεβεννὴ
    κεύθει, ἐν ὀρφναίοις κειμήλια νωὶ μυχοῖς,
εἴτ' ἀγαθ', εἴτε πάλιν προστάγμασ' ἐναντία θείοις,
    ἔργατ' ἄρεσ' αὐτῷ, ἠὲ καὶ οὐχὶ πέλει.

τέλος.

# ΕΙΣ ΤΑ ΓΕΝΕΘΛΙΑ ΤΟΥ ΕΝΑΝΘΡΩΠΗΣΑΝΤΟΣ ΥΙΟΥ ΤΟΥ ἀϊδίου πατρὸς ἰησοῦ τοῦ χριστοῦ μόνου σωτῆρος καὶ λυτρωτοῦ ἡμῶν.

Ἦν χρόνος, οὐρανόθεν θεὸς ἡνίχ' ὃν υἱέα πέμψας
δῖαν ἀνεκφράστῳ εἰς χθόν' ἐφημοσύνῃ.
κεῖθ' ἀναδέξασθαι βροτέην φύσιν, ἔνδοθι γαστρὸς
παρθένου, ἧς οὐδεὶς ζώματα λῦσεν ἀνήρ.
χ' ἀβρόχροον τεχθέντα βρέφος προφόωσδ' ἐμμενοίνα
ἀψαυστοι, ἀγαγεῖν, μητέρος ἐξ ἀδύτων.
ὄφρα, βροτὸς γεγονὼς κατὰ πάντ' ἐναλίγκιος ἡμῖν
τἄλλα, μόνον συγγορῶν ἐκτὸς ἀμαρτιέων:
σώματ' ἐφεσσάμενος θνητὸν, γενετῆς ἔθ' ἄποινα
τίοι, ὑπὲρ τοκέων σφάλματος ἀρχεγόνων.
τουτάκι δ' ἡ γενέτειρα κόρη, βασιλήϊον ἔρνος
νειόθεν ἐκ ῥίζης βλαστὸν ἰεσσαΐδος:
ἣν προλιποῦσα πόλιν ναζωρίδ', ὅδευε μετ' ἄστυ
οἰκεῖον Δαβίδου χορίον ὅ,τι ἔην.
καὶ κατὰ βηθλέμιον κλήϊζεθ' ἑβραΐδα ὄσσαν,
πυρφόρον ὡς πεδίον γῶντ' ἐριβώλακ' ἔχον.
κεῖσε δ' ἐπερχομένη ἐπεὶ, ἐξήνυσε δίαυλον
τῆς μεσσηγὺς ὁδοῦ τρὶς δέκα που δεκάδας,
παντοδαπῶν ξείνων καταλύματος ἔμμορε μεστοῦ,
ὥστε μόνην εὑρεῖν αὐτόθι μηδεμίην.
καὶ τότ' ἄρ εἰς σηκὸν στοίχεσκεν ὁμώροφον οἴκῳ,
σηκὸν, ὑποζυγίων ὃς τύχεν οἶκος ἐών.

γενομένη τ᾽ ἐπίτεξ ἐνταυθοῖ ἐοῦσα μόνη πόρος,
ἐξ ἧς ἔνσαρκον γαστέρος ἧκε θεόν.
ἤδη ἔνθουν βροτὸν, υἱα θεοῦ, καὶ ὁμήλικα πατρί,
μηδεμίην ἀρχὴν, μηδὲν ἔχοντα τέλος.
κὰμ ξυλίναις τεχθέντα κάπαις θῆκ᾽ ἤϋτε λείκνοις,
κὰμ ὀλίγαις θεὸν σῶμα τύλιξ᾽ ὀθόναις.
οὐ γὰρ ἔχεν στρωμνὰς ξυφορὰς, αἷς μητέρες ἄλλαι,
θάλπουσαι χρῶνται σφῶν τὰ νεογνὰ βρέφη.
ὡς δὲ θεοῦ γεγονὼς τοκετὸς κρυφιόσπορος ἐν ὀρφνῇ,
οὐ μὴν δηρὸν ὅμως μέλλεν ἄϊστος ἔμεν.
αἶψα γὰρ εἰροπόκων οἴων φυλάκεσσιν ἀγραύλοις,
νύκτα φάνη τοῖον φάσμα διὰ δνοφερῶν.
αἰγλήεις ἄφνω λαμπρός θ᾽ ὁ ἀθέσφατος αἰθὴρ
σφᾶς ἀμφ᾽, ἡλιακοῦ μᾶλλον ἔγεντο φάους.
ὥστε ταραττομένας τῆδ᾽ ὄψει, δείματι λυγρῷ
τὰς αὐτῶν κραδίας ἐν πραπίδεσσι τρομεῖν.
οὐ γὰρ δόξ᾽ αὐτοῖς ἤδ᾽ ἀθανάτοιο θεοῖο,
δαιμόνιον δὲ τέρας τοῦτο δοάσσατ᾽ ἔμεν.
ἀλλὰ τὸν ἐγγὺς ἰὼν, σφισὶ θείης πρέσβις ἐφετμῆς
ἄγγελος, εὐμαρέως αὖθις ἀφεῖλε φόβον.
τοίην γῆρυν ἵεις. τί μάτην φοβέεσθε νομῆες;
οὐδὲν σίνος ὑμῖν τοῦτο τὸ φάσμα φέρει.
αὐτὰρ ἀπουρανόθεν πεμφθὲν, σωτήριόν ἐστι
παντοδαπῶν ἠθῶν τῆς χθονὸς ἐνναέταις.
ἤνιδε γὰρ χαρτοῖο ὑμῖν πάνυ χρήματος ἦλθον
ἄγγελος, οὗ μέτοχος πᾶς κεν ἔσοιτο λεώς.
ὅττι φυὴν βροτέην ἀνελὼν ἐνὶ σώματι ἁγνῷ
μητρὸς ἀνυμφεύτου ἀζυγέος τε κόρης,
σήμερον ἀνθρώπων σωτὴρ θεόπεμπτος ἐτέχθη,
ὃς κατὰ δεσποσύνην χριστὸς ἅπαντα ἔχει.

ἄστεος

ἄστεος Ἐφράτης ἐντὸς, τὸ πόλισμα Δαβίδου
ἵστε πάλαι ἐνδόξου τοῦ βασιλῆος, ἔμεν.
καὶ ταῦθ᾽ ὡς ἴχθην ἵνα νητρεκέως κεν ἴδοιτε,
ἔξεστ᾽ ἐντεῦθεν γ᾽ ὔμμιν ἐκεῖσε πορᾶν.
τέτμεν γὰρ φάτνῃ ἔνι μέλλετε παιδίον ἁβρὸν,
εὐτελῆ εἷο δέμας σπάργαν᾽ ἐφεσσάμενον.
ἦ, καὶ παμμέγεθες πλῆθος παραχρῆμα φαάνθη,
ἀστράπτον στρατιῆς ἀμφί μιν οὐρανίης.
συμφώνῳ μολπῇ τὸ θεῷ μεγαλοπρεπὲ ὕμνον,
ἠδὲ γενεθλιακοὺς ἠδ᾽ ὑσιωῆσε νόμους.
τοῖσδ᾽ ἐσὶ γηθοσύνην σφετέρην καὶ χάρματα δηλῶν,
εἵνεκα θαυμασίης τόσσα θεοῦ γενετῆς.
ἠδ᾽ ἡμᾶς αὐτοὺς βρέφεος περὶ τοῦδε διδάσκων,
τοῖς ἀνυπέρβλητον μέλλειν ὄνειαρ ἔμεν.
ἦν δ᾽ ᾠδῆς λιγυρῆς, ὁμοθυμαδὸν ἣν συνεφώνουν
τοῖον ἄρ᾽ εὐσύνετον τοῖς νομέεσσι μέλος.
δόξα φιλανθρώπῳ θεῷ ὃς τὰ ὑπέρτατα ναίει
δώματα, κἀν κορυφαῖς ἵζετ᾽ ἐπουρανίοις.
τὴν χθόνα δ᾽ εἰρήνη θεόσδοτος αὖθι κατίσχοι,
μηδ᾽ ἔτι λειφθείη σπέρμα διχοφροσύνης.
γῆς δὲ ἀπειρεσίης ἐπὶ πανταχοῦ οἰκία θέντες,
ἔντε χαραῖς μέροπες ζώειν, ἰδ᾽ εὐδοκίαις.
οὐκέτι γὰρ βλάψον πῆμα σφέας ὅττι κεν εἴη
γεννηθέντ᾽ εὔνουν ἠὸν ἔχουσι θεοῦ.
ὅς χ᾽ ὑπὲρ ἀμπλακιῶν βροτέων δεινῶν περ ἐοῦσῶν,
χωομένοι ἱκέτης πρόσθ᾽ ἕο γένετο πατρός.
αὐτίχ᾽, ὅθ᾽ αἱμυλίοις ὄφιος πειθεῖσα λόγοισι
οὐλομένου μήλου ἥψατ᾽ ὀδοῦσι γυνή.
φῆτ᾽ ἀπὸ πάντα τίσειν τῆς παραβάσεως ἀλεγεινῆς
λύτρα, καίτ᾽ ἀνδρόμεον σῶμ᾽ ἀναληψόμενος.

τοὔνεκα νῦν μητρὸς παῖς ἐξέβλαστεν ἀχράντου.
ἔργον γὰρ ἐν θνητῇ τοῦτο φύσει κε πέλοι.
καὶ τὰ ἀποπλαναθέντα θεοῦ, σπλαγχθέντα τε δεινῶς,
ἐν σκοτίαις σφετέραις φῦλα βροτῶν ματίης,
αὖθις ἂν ἀϊδίῳ κεφαλαιώσαιτο γονῇ,
ἔκ τ' ἀγάγοι ζοφερῆς ἔμπαλιν ἀφροσύνης.
ὡς γεννηθέντος τούτου μερόπεσσιν ὁδηγοῦ
πᾶσιν, ὃν ἀΐδιον πρὸς γενετῆρα βρέφους:
οὐ θυσίας τε θεῷ τελετάς τ' ἔτι αἱματοφύρτους,
οὔτ' ἀδινῶν μήλων μηρία, οὔτε τράγων:
ἀλλὰ φρένας πιστὰς λογικὰς ῥέξουσι θυηλὰς,
δόξαν οἱ ἀρξάμενοι δ' οὖν ἐλεημοσύνης,
εἰρήνη δ' ἀνὰ γῆς μαλακοῖς φοιτῶσα πόδεσσι
τοὔδαφος, αἱμοχαρῆ ἐξαλαπάξει τ' ἔριν.
τάς τε συνειδήσεις χαλεπῶν ἀπὸ πάγχυ μερίμνων
παύσεθ', ἅπαν τε φρενῶν ἐκ μυχοῦ ἤσετ' ἄχος.
τὸν πάρος ἀπερχὲς κεχολωμένον ἀνδράσ' ἀλιτροῖς,
νῦν ἱλαθέντ' αὖ πᾶσι φανοῦσα θεόν.
ἔνθεν ἐϋφροσύνης ἀπολαύσεται, χαρμοσύνης τε
ἀλλήκτου, μερόπων πᾶσις ἐπιχθονίων.
ῥυσθεὶς ἐξ ὀλέθρου αἰωνίου, ἔκ τε μόροιο
ἔκ τ' ἐρέβευς, στυγερῶν ἔκ τ' ἀΐδαο πυλῶν.
αὖτε λαχὼν ζωῆς ἀτελευτήτοιο καὶ ἐσθλῆς,
αὖτε δικαιοσύνης γηθοσύνης τε λαχών.
τοίους ἀγγελικοῖς ὕμνους λογάδεσσι μεμήλετ'
ἐν χοροῖς λιγυρῶς ᾀδέμεν αἰθερίοις.
ὄφρα διδαχθῶμεν καὶ ἡμεῖς ὑπὸ ταὐτά κεν ἠχεῖν
σφῶν μέθ', οἳ ἐν χθονίοις ναιετόωντες ὄροις.
τῶδ' ἀπό σοι χαρίτων δίδομεν γέρας ἔξοχ' ἅπαντες
ὦ ἐλεημοσύνης μεστὲ, κράτιστε θεός.

εὖτε

εὖτε χαρισάμενος πέμψαντι σὸν υἱέα χριστὸν,
 σαρκὸς δ' οὐλοσύνην ἡμετέρης ἀνελεῖν.
καὶ βροτὸν ἄνθρωπον γεγαῶτα, ῥύσασθαι ἁπάντων
 ἀϊδίου ψυχὰς ἐκ θανάτοιο βροτῶν.
καὶ σὲ λιταῖς ἁγναῖς γουνούμεθ', ὄφρα κεν ἅψαις
 τὰς ψυχὰς ἡμῶν, πνεύματι σεῖο φρένας.
εἰς τὸ σέθ' ὑμνῆσαι ἠδὲ τεοῖο ἀλήκτως
 δόξαν, καὶ σοφίην παντοκράτητε βίην.
ἵλαος ὦ πάτερ ἐσθλὲ γλυκὺ, καὶ λοιγὸν ἄμυνον
 πάντ' ἀπὸ σῆς ἀγέλης ἐν χθονὶ, πᾶσαν ἔριν.
τηλόσ' ἀπὸ στυγεράς τ' ὀλοάς τε ἐριννύας εἴρξας,
 αἷς θορυβοῖτε ἀεὶ, σχέτλιά τ' ἔργα μέλει.
τῆς τε διδασκαλίης ἱερουργοὺς σεῖο κυβέρνα,
 ὥς κε φίλ' ἀλλήλοις πᾶσ' ᾖ ὁμοφρονέειν.
δός τε χαρὰν ἐτεὴν καὶ ἄπαυστον ἐπ' ἤματα πάντα,
 χωρὶς ὀϊζυρῶν, ἀργαλέων τε πόνων.
ὦ χριστὲ ἐμμανουὴλ, κόσμου μόνε σῶτερ ἀλιτροῦ,
 ὦ θεόπαι καθαρῆς ἔκγονε χριστὲ κόρης:
ὃς σέθ' ἀνέκφραστον στοργὴν δηλώσας ἐς ἡμᾶς,
 ἀμπεχόνην φύσεως ἐνδύμενος βροτέης:
ἵλαθι εὐμενέων τοῖς ἐνθάδε σοῖσι μαθηταῖς,
 ἔν τε κακοῖς ἡμῖν μεῖνον ἅπασι φύλαξ.
ὥς κεν ἑορτάζωμεν ἀεὶ σὰ γενέθλια λαμπρῶς,
 καρτίσταις χερσὶν σεῖο σκεπαζόμενοι.

ΕΙΣ

# ΕΙΣ ΤΑ ΣΤΑΥΡΩΤΉΡΙΑ ΤΟΥ αὐτοῦ.

Νυνὶ δ' εἰκοστὸν καὶ πέμπτον ἐπήλυθεν ἦμαρ
μηνός, ὃν οἱ Κέκροπος μουνιχιῶνα καλεῦν.
Ὧι ποτ' ἐνὶ σταυρῷ βροτὸς ἄμβροτος ὕψι κρεμασθείς,
δῶχ' ὑπὲρ ἀνδρομέου Χριστὸς ἄποινα γένους.
καὶ τῶν τοι θανάτου στιβαρῶν ἀπέλυσε πεδάων,
κεἰς βίον ἐξ ἀΐδου ἤγαγ' ἐσαῦθι πυλῶν.
τῷ μιμνησκόμενος κἀμοὶ σωτηρίου ἔργου,
ἴσα, καθὼς πᾶσιν γῆς ναέτῃσι βροτοῖς:
ὕμνον ἀειδέμεναι τὶν ἐμῷ σοὶ Χριστὲ λυτρωτῇ,
καὶ λογικὴν εὐαγέως σῶστρα πάρειμι θύειν.
τοῦ δὲ καλήν τ' ἀρετήν τε πεὶν φρεσὶν ἐμῇσιν ἀοιδὴν
ἔμβαλε, ὦ ψυχῶν ῥύστα, μόνη ἠὲ θεοῦ.
ἦν χρόνος ἐγγὺς ἐν ᾧ τῆς ἀζύμου ἦμαρ ἑορτῆς
κλεινόν, ἑβραιογενεῖς χρῆν ξυνάπαντας ἄγειν
ἠδ' ἔτι τὴν ὀπτηθέντ' ἐνιαύσιον ἄρνα πανοικεὶ
ἐσθέμεναι, ἀμφοτέροις ποσὶν ἐφισταμένους.
ἔνθα θεοῦ παῖς ἀϊδίου καὶ ἄχρονος, αὐτὸς
θνητὸς ἀπειρογάμου παρθενικῆς γόνος:
ὡς ἴδεν ἀγχιφανῆ τὴν ἧς σταυρώσιος ὥρην
ἔμμεν, ἣ ἐξ ἀΐδου κόσμον ἔμελλε λύειν:
δειελινὸς δειπνῶν ξυνὰ μὲν ὕστατον οἷσι μαθηταῖς,
πολλὰ παρηγορέων σφᾶς προσέειπεν ἔπη.
καὶ δὴ καὶ προδότην τὸν ἑὸν δήλωσε, καὶ αὐτὸν
σύσιτον λοιποῖς εἰν ἑτάροισιν ἔχων.
ὡς δὲ τὰ ἐντεῖλαί σφιν ἐβούλετο, ἠὲ προειπεῖν
πάντα, θεόφραστον, φθέγξατο, γῆρυν ἱείς:

δὴ τότε

δὴ τότε χείμαῤῥον περάσας, εἰς ἀνθεμόεντα
κῆπον, τοὺς λοιποὺς ἕνδεκ', ἐσῆλθε, λαβών.
ἔνθ' ὑπὸ δωδεκάτου προδοθεὶς συνελήφθη ἰούδα,
καὶ ὡς κακόεργος ἀνήρ. τὼ χέρ' ἔθ' αἶψα δέθη.
καὶ πρῶτ' αἰνομανῶν εἰς αὐλὰς ἀρχιερήων
ὕβριος, εἰσήχθη, ἄμμορος οὐδεμιῆς.
εἶτα δὲ ῥωμαίῳ προσενέχθη δέσμιος ἀνδρὶ,
ὃς τότ' ἐν σολύμοις ἦν ἱεροῖσι κριτής.
οὗτος ἔων πιλᾶτος ὁ πόντιος, ὅσγ' ἀνακρίνας
εὖ μιν, ἰδ' ἄψεκτον γνοὺς καὶ ἀθῷον ἔμεν:
ἤθελ' ἱμασθλῆσιν φοινιχθέντ' αὖ ἀπολύειν,
μήτ' ὀλέθρῳ δοῦναι μὴ κακὸν ὄντα κακῷ.
ὣς δ' ἔθ' ἀεικελίως μάστιξεν ἑ δώματος ἔνδον,
καὶ αἱματόεντ' ἔξω ἤγαγε πᾶν τὸ δέμας.
τῆς τε ἀειρομένης παμπληθεὶ ἐπεύσατ' ἰωῆς,
δεῖν τόνδ' ἀρθῆναι, σταυροπαγῆ τε θανεῖν:
μήτε φίλον μουνοσκήπτρῳ τόδε καίσαρι ἔσεσθαι,
ἀνέρι ὃν κείνῳ ἦν χαρίσαιτο βίον,
ὣς βασιλεὺς τῶν ἑβραίων εὖς εὐχετάαται
ἔμμεν, ἀνασσέμεναι ἔσθ' ὅτε τοῖσδε μεμώς:
τότ' αὐτοκράτορος δεδιὼς τὴν ποίνιμον ὀργὴν
ἐν φρεσ', ἑκὼν ἀέκων πάρ μιν ἔδωκε μόρῳ.
τάς τε χέρας νίψας ὡς οὐχὶ μιαιφόνος ὤν τις,
ὄρθιον ἐν σταυρῷ κρῖνε ταθέντα θανεῖν.
τοὔνεκ' ἄφαρ σφετέρης στρατιῶθ' ἑ χέρεσι χαβόντες,
ἤγουντ' εἰς θάνατον τήν οἱ ἄγουσαν ὁδόν.
κεἰς τόπον ἐρχόμενοι ὅθι πύθετο κράατα ὄμβρῳ,
γόμφοισιν σταυρῷ πρός μιν ἔπηξαν ἑῷ.
τούς τε πόδας κέντροις, παλάμας τε πεπαρμένον
ἐκταδὸν ὕψωσαν τοῦ θανάτοιο τυχεῖν. (ἥλων,

αὐτὸς

αὐτὸς δ' ἀνχόμενος τάδε πάντα πετληότι θυμῷ,
πείθετο οὐρανίου τῇ ἰότητι πατρός.
καὶ πᾶν ἐκτελέσας, τὸ τελεῖν ἐκέλευσεν ὅδ' αὐτόν,
τὴν ἔθεν ἡσυχίως οἱ παρέθηκε πνοιήν.
ταῦτ' ἄρα φραζόμενος κατ' ἐμὴν φρένα καὶ κατὰ θυμόν
ὦ χρίστ', ἀενάου νητρεκὲς υἱὲ θεοῦ.
γίνομαι ἔκθαμβος, κατὰ ἔργματι πλήττομ' ἀγαστῷ
τόσσα, καὶ ἐκστάσεως ἐγγὺς ὁ εἰμὶ τάλας.
πῶς γὰρ μή; αἴων σε θεοῖο ὁμόθρονον υἱόν,
ἔσσασθαι βροτέης γηγενὲς εἷμα φυῆς.
καὶ θεὸν ἠδὲ βροτὸν ξυνὰ μ' ὄντ' ἐπὶ δούρατι πηκτὸν
μεσσόθι λῃστάων ὥστε φονῆα θανεῖν.
πῶς θεὸς ἀθάνατός κε θάνῃ; πῶς μίν τις ἀμύξῃ;
ἠὲ προσηλώσῃ τῷδε ξύλῳ, ἠὲ νύγῃ;
φεύγετε μωροσόφου σοφίης κακὰ τέκνα λογισμοὶ
ἀνδρομέ', ἐν θείοις οἱ πλανοώμεν' ἀεί
φεύγετε, μήτε τὸ πῶς ἐνὶ τοῖσδ' ἔσιν ἠΰτ' ἐν ἄλλοις
δίζεσθ' ὅσσ' ὕμμιν δῶκεν ἐοικότα φύσις.
ἀλλ' ἁγίοις ζαθέης θεσπίσμασιν εἴκετε φωνῆς,
ἢ πόσσ' ἄλλα βροτοῖς οὐ καταληπτὰ πέλει;
χ' ὥσπερ ὁ ἠέλιος τῶν ἄλλων λαμπάδας ἄστρων,
αἰθέρ' ἐσαμβαίνων, φωτὶ καλύπτει ἑῷ:
ὣς ἄρ ὑπ' ἀκτίνων ἀκτῖνας ἐάσατε θείων
κρυφθῆν ὑμμετέρας, ἄμμορα φῶτα φάους.
τοῖσε θεογλώσσων ἐντεύξατε γράμμασιν ἀνδρῶν,
οὐ τὰ χλευάσαι βουλόμεν', ἀλλὰ μαθεῖν.
αὐτόθι τετμέμεναι γὰρ μέλλετε, οἷα προφητῶν,
γλῶσσα θεανθρώπου θέσφατ' ἀνεῖπε πέρι.
αὐδῶσ' ἄντικρύς τινα παρθένον ἀνδρὸς ἄκληρον,
σωτῆρ' αἰνομόρων τεξέμεν υἷα βροτῶν.

οὐ βρο-

οὐ βροτὸν ὄντα, μόνον δίχ' ἁμαρτάδος ἐσθλὸν ἁ=
τῆς τε δικαιοσύνης, εὐνομίης τε πλέον, (πάσης
ἀλλὰ καὶ οὐρανίης γενέθλης ἔτυμα θέειον,
καὶ θεὸν ἀενάως ἐκγεγαῶτα θεοῦ.
ὃς τόδε πᾶν μόνος αὐτουργὸς κτίσεν, ἠδὲ κυβερνᾷ,
πνεύματι σύν θ' ἁγίῳ, σύν τε γονῆϊ φίλῳ.
κεῖνος ἔσω ἀνδρογενῆ φύσιν εἱμένος, ἠδ' ἔτι σῶμα
θραυστὸν, καὶ τρωτὸν, θνητὸν ἐόντε λαβὼν,
δεινὰ σιδηρείοις ἤμελλεν ἐπήορος ἥλοις
σφίγγεσθ' οὓς ταρσοὺς ἐν ξύλῳ ἄσε χέρας.
κἀνταῦθ' ἀλλάξαι ζωῆς μόρον, ἥντ' ἄρ ἡμεῖς
τοῖς τοῦ ζῆν κεῖνος τοὔσχατόν ἐστι τέλος
καὶ τάφον εἰσελθεῖν νεκυοπρεπῆ, ἔνδοθι κόλπων
γῆς, ἀμόρων πάντων τοῦ βιότοιο δίκην.
οὐ μὴν ὅμως φθαρτός νεκρόπερ ἐὼν, ἐνὶ κείνῳ
γίνεσθ', ἣ ζωὴν οὐκ ἔτ' ἐστ' αἰὲν ἔχειν.
νόσφι δὲ σκηπεδόνος κεῖσθ' ἄφθιτος, ἠδὲ τριταῖος
ἀνέστη ἐκ χθονίων ζωὸς ἐσαῦθι μυχῶν.
ἀλλὰ τίνος χάριν ὠφελίης; τίνος εἵνεκα κέρδους;
ἦρα ἔσω οὐδεμιῇ αἰτίῃ; ἦρα μάτην;
οὔτ' ἄρ ἀνωφελέως οὐθ' αὔτως, ματιδίωσε,
ἀλλ' ἐπὶ λυτρώσει ἐκ θανάτοιο βροτῶν.
τοὔνεκα γὰρ τέχθη, κἀπὶ ξύλον ὑψόσ' ἀέρθη,
καὶ θάνε, καὶ δ' ειλοῖς σὺν νεκύεσσι μίγη.
ὄφρα μελαγχλαίων, μοιράων ὄφρ' ἀΐδαο
ἐκ μέροπας στυγερῆς αὖθις ἕλοιτο βίης.
καὶ μόρον ἠγαθέη βροτολοιγὸν ἔθ' ἀλκὶ δαμάσσας,
αἴτιος ἀλλήκτου σφισὶ γένοιτο βίου.
πῶς τόδε, φαίη κέν τις, ἔφης; μῶν ῥέζεμεν ἄλλος
τοῦθ' οἷός τ' οὐδεὶς, εἰ μὴ ἐκεῖνος, ἔην;

οὐδεὶς

οὐδ' εἷς παντελέως πλὴν κείνου ἄρ', ὃς βροτὸς ἁγνὸς
    πάσης ἀμπλακίης, καὶ θεὸς ἐστὶν ὁμῶς.
τῇ τε φύσει ζαθέῃ τὴν πατρόθεν ἶσχεν ἀνάρχως,
    ἐν κούρης βροτέην γαστρὶ προσῆψε φύσιν.
κεῖνό θ' ὃ πρόσθεν ἔην μίμνων, καὶ μηδὲν ὀλέσσας,
    πρόσθ' ἔτι κεῖνο λαβὼν, ὅτι μὴ ἔσκε πάρος.
τοῦδε χάριν βροτὸς οὔτις ἐὼν μόνον, ἔργμα δυνήθη
    πᾶσι τόδ' ὠφέλιμον τοῖς μερόπεσσι τελεῖν;
οὐδ' ἀμὴ ἐνδέχεται ἡμᾶς τοὺς νηπιάχοντας
    ἐν θείοις, ἀκριβῶς τοιάδε πάντα νοεῖν.
ἐνθάδ' ἔτι χθονίοις σκηνώμασιν ἐνδιάγοντας,
    καὶ τῆλ' οὐλύμπου γῆς πέσιν ἁπτομένους.
εὖ δὲ μαθησόμεθ' ἔσθ' ὅτ' ἐν αἰθερίοισι πάρεδροι
    δώμασι. τῷ πάντων ὑψιμέδοντι θεῷ.
κεῖθι γὰρ ἡμετέρης σοφίης τὸ μάλ' ἐνδεὲς ἤδη
    μέλλει ὁλοκληρούντ', ἠδὲ τέλειον ἔμεν.
ἀλλὰ πολυφροσύνης κείνης τινὰς οἷον ἀπαρχὰς
    ἐχέμεν, ἐν τούτῳ ἔμπα χρὴ ἄμμε βίῳ.
ἃς θεόθεν καὐτὰς εἰληφότες εὐσεβέωμεν,
    καὶ χάριν εἰδῶμεν κηρόθι τῷνδε θεῷ.
τῷ καὶ διζόμενοι τῶν εἵνεκα τοῖος ἔγεντο
    αἰνομόροιο γένους τοῦ βροτέοιο λύτης:
τούτοις ἀρκώμεσθα μόνοις εὐγνώμονι θυμῷ,
    τὰ γραφὴ ἐξ ἱερῶν ἧμιν ἔθηκε βίβλων.
ὧν γε τὸ πρῶτον, ὅπως ἀναμάρτητος βρότος ὤν τις,
    δώῃ ἁμαρτωλῶν ἀντὶ δίκην κε βροτῶν.
τῆς τε ἀλιτροσύνης βροτέης ὕπερ, ὧδε πεπονθὼς
    δεινὰ, δικαιοκρίτῃ τίσῃ ἄποινα θεῷ.
δεύτερον, ἀντίβροτον λύτρον ὡς ἀντάξιον εἶναι
    πασῶν τοῦ ξυνόλου κόσμου ἁμαρτιέων.

τοὔνεκα

τοὔνεκα μὴ δὴν ἔχοντα φύσιν μόνον ἄνδρα βροτείην,
ἀλλὰ καὶ ὄντα θεὸν τοῦτ' ἐπέοικε τίειν.
πρὸς τοῖσδ'. ἄρρητον δ' ἐπεὶ μήνιμα θεοῖο
οὔτ' ἐδύναντ' ἀνέχειν ἄγγελοι, οὔτε βροτοί:
αὐτὸς ὁ παντοκράτωρ θυσίη θεοῦ υἱὸς ἔγεντο,
τόσσον ἐς αὐτὸν ἄγων τοι γιγνέταο χόλον.
εἶτα δ', ἐπεὶ μεσίτην τόνγ' ἱλαστῆρα γενέσθαι
ἔσκε μεταξὺ βροτῶν ἠδὲ θεοῖο, δέον:
εὖ μιν ἔχειν βουλὴν τὴν τῆς θεότητος ἄφρασον
παγκρατῆ ἀϊδίως εἰδ' ἐὼν ἐόντα θεόν.
χωρὶς δ' αὖ τούτων, δαμάτωρ θανάτοιο ἵν' εἴη,
ὃν βροτέων μηδεὶς κάρτει εἶχε δαμᾶν.
λοίσθιον. ἧς ἵν' ὁμηγύρεως ἐπίουρος ἑῶ αἰῆς
εἴη ἀπειρεσίης πάντοθι. ἠδὲ φύλαξ.
καὶ δὴ κἀντευκτὴς παρὰ τῷ πατρί, θλιβομένης τε
εἰς τ' ἀθρέοι στοναχάς, εἰσαΐοι τε λιτάς.
ταῦτ' ἄρ σκεπτόμενοι λόγου αἴτια μείζω ἅπαντος,
τοι θεοῦ ἠδὲ βροτοῦ σωσιβρόθοιο πάθους:
δεινὸν ὀδυσαμένοι ἀλιτροῖσι τόσ' ἄμμι θεοῖο,
ἐν φρεσὶ κατθώμεθ' ἡμετέρῃσι κότον.
χ' ἡμετέρην κακίην ἀποδυρώμεθα, χέοντες
δάκρυα μυδαλέων θερμὰ κατὰ βλεφάρων.
μᾶλλον δὲ κραδίης τὸ μυχοίτατον ἄλγεσι λυγροῖς,
λυπράτε, κόψωμεν, κἄμπλεα φῦλα φόβου.
μήθ' ὡς τῶν ἐθελοθρήσκων ὁ δυσώνυμος ὄχλος,
μοῦνον ἱμάσσωμεν νείκεσι τὸν προδότην.
ἀλλὰ κατηγορέοντες, ὅτ' ἀργυρίοιο μικροῦ πρὸ,
τὸν ῥαββεὶ πωλεῖν ἄνχετο λάθρη ἑόν.
μήτε γοηπλανέας φαρισαίους δυάθεα φῦλα,
τῶν πάρα τῆς λώβης μισθὸν ὅδ' ἔλλαβ' ἑῆς.

μήτ᾽ ἄρ᾽ Ἰουδαίους, τοὺς δεῖν ἰάχοντας ἐκεῖνον
    δοιοῖς ἐν δούρῳ ξὺν φονέεσι θανεῖν.
μήτε δίκην τὸν πρὸς χάριν ἀνδρῶν ἕλξαντα δικαστήν,
    τοῖστε ἀληθοσύνης ἐγγελάσαντα λόγοις.
ἢ ἑκατόνταρχον, καὶ σπεῖραν τῶν στρατιωτῶν.
    ἢ κάκα τόσσ᾽ αὐτὸν δρᾶσ᾽ ἰδὲ κέρτομ᾽ ἔφη.
ἡμετέραι γὰρ ἀτασθαλίαι νιν προὔδοσαν αὐταί,
    ἠδὲ κατέγνωσαν σφι γενομένοιο μόρον.
καὶ μαστιξάμεναι, καὶ ὑβρισάμεναι προσέδησαν
    τῷ σκόλοπι, ἠδὲ βίου κεῖθ᾽ ἀπάμερσαν ἑοῦ.
καὶ γὰρ τὰς δ᾽ αἴρων σταυρόνθ᾽ ὑπέμεινε μόρον τε,
    πρόφρων τ᾽ ἀϊδίῳ πάνθ᾽ ὑπάκουσε πατρί.
τῷ πάλιν οὐρανόθεν σκοπέοντες ἅπαν ἄμμι δοθῆναι
    τὸν τοι ἀειζώου σύμφυτον υἷα θεοῦ:
πληθῶμέν τε χαρᾶς, καὶ πιστεύσωμεν ἐς αὐτόν
    τὸν ῥ᾽ ὑπὲρ ἡμείων γενόμενον κατάραν
τόν τε καταλλάξαντα πάλιν λυτρώσει αἰνῇ
    τ᾽ ἀνθρώπων γενέτῃ φῦλ᾽ ἀλιτήρι᾽ ἑῷ.
μεσίτην, ἱκέτην, σωτῆρ᾽, ἱλάστορα, ῥύστην,
    νικητὴν θανάτου, δώτορά τ᾽ ἄμμι βίου.
κἄφθονον ἐνδικίης ἅμ᾽ ἑῆς χαριτός τε ποριστήν,
    πασῶν τ᾽ ἰατρὸν τῶν ἐνὶ φρεσὶ νόσων,
εὖ τε χαριστήσωμεν ἑοῖ γλώσσῃ τε νόῳ τε,
    πάντ᾽ εὐεργεσίης εἵνεκεν ἤμαθ᾽ ἑῆς.
τόν τ᾽ αὐτοῦ γενέτην κλείωμεν ἄληκτα καὶ αὐτόν,
    ῥήμασιν εὐαγγέων δοξολόγοισι μελῶν.
οὕνεκα μὴ πάντως τὸν κόσμον ἐβούλετ᾽ ὀλέσθαι,
    ὤλεθ᾽ ἅτ᾽ ἀντίθεον πάμπαν ὁ πνεῦμα σατάν,
ἀλλά μιν ἀμβαγαπῶν, στέργων θ᾽, ἐξεῖλεν ὀλέθρου,
    υἱοῦ σωσιβίῳ αὐτὸς ἑοῖο μόρῳ.

τὸ

τὸ φρεσὶν ὁρμαίνειν, καὶ ἀνὰ στόμα πᾶσιν ἔοικε
τοῖσί γε εὐσεβέειν βουλομένοισιν ἔχειν.
πάντοτε μὲν καὶ ἀεί, τὰ μάλιστα δὲ ἤματι τούτῳ
ᾧ περ τε θηλυγενοῦς γέντο τόδ' ἔργμα θεοῦ,
ἔκ τε πορευόμενον πατρόθεν τε καὶ υἱόθεν αἰεί,
εὔγμασι πνεῦμ' ἅγιον θεόφροσιν ἀντιβολεῖν,
τὰς ψυχὰς ἡμῶν κραδίας ἵνα φλοξὶν ἀνάψῃ
ᾗσιν, καὶ θείην πρὸς σφισὶ δ' ᾆδα φέρῃ.
ἢ τό, τε μισάδικον, τό, τ' εὔσπλαγχνον θεοῦ αὐτὰς
αἰσθέσθ' εὖ, δειλῶν πρὸς λυγρὰ φῦλα βροτῶν.
μήτε ἁμαρτοσύναις ἡσθῆν ἔτι, μήτ' ἐπὶ ταύταις
πάμπαν ἀνελπίστως δεινοτάταισιν ἔχειν.
ἀλλὰ σὺ χαῖρε βροτῶν ὦ χριστὲ μοροφθόρε πάντων,
ῥύσατε, καὶ ζωῆς δῶτορ ἀπειρεσίης.
χαῖρε, πεποίθησίς τ' ἐμέθ' ὢν μόνος, ἔνθεν ἀπ' οὔρας
γῆς ἄπω ἐς οὐρανίους πρόσσ' ἔμ' ἐνεικεδόμους.
ἦχι σὲ εἰσορόων θεὸν ὄντα βροτόν τε ἅμ', αἰεὶ (πατρὶ.
πνεύματι σὺν θ' ἁγίῳ, σύν τε κλέοιμι πατρὶ
χαῖρε πάλιν, χριστ' ἀλίκης ἣν ἐξεκάλεσσας ἀμώτως,
γῆς τ' ἐπὶ παντοδαποῦς ὦ μάκαρ ἴσθι φύλαξ.
χριστ' ὡς ἐλίσσω γενετῆρα σὸν ἐν προαγωνίῳ εὐχῇ
τὴν δ' ἁγιασθῆναι, ὄφρα τὰ αὐτὰ φρονῇ
ὄφρα θ' ἓν ᾖ ἐν ὑμῖν, καθάπερ σὺ ἓν ἐσσὶ μετ' αὐτοῦ
ἰσοφυὴς, ὁμόφρων, ἰσοκρατής τε θεός:
ὡς καὶ νῦν λίσσου, κόσμον τε κατ' ἀφραδέοντα
ὑπεξεκίης αὐτὴν σοῦ λόγου ἅμμασ' ἑνοῦ.

# ΕΙΣ ΤΑ ΑΝΑΣΤΑ-
## ΤΗΡΙΑ ΚΑΙ ΝΙΚΗΤΗ-
## ρια τοῦ θανάτου.

Ἀρχόμενος σὲ ἐς ἦτορ ἐμὸν χρείαθ' εἵνεκ' ἀοιδῆς
  ἐλθέμεναι, ὑψίστου λίσσομαι υἷα πατρός.
καὶ τι λιγύφθογγον φρεσὶν ἐμῆς μέλος ἐγγυαλίξαι,
  ὄφρα σοὶ ἐπ' ἀνστασίῃ ἱερὰ φέρω κ' ἐτεῇ.
τὺ γὰρ νημερτῶς ἑκατηβόλος οἷος Ἀπόλλων
  ἐσσ', ὁ ἀοιδοσύνης καὶ σοφίης πρύτανις.
ὄφρα χρὴ ἀειδέμεναι μεμαῶτ' εὔχεσθαι ἀοιδῶν
  φῦλ', ὄντως μόνῳ πανσόφῳ ὄντι θεῷ.
ὅ,τι δρόων καὐτὸς βραχέως περ (παῦρα γὰρ ἀρκεῖ
  ῥήματα, πρὸς μῦθον τὸν προκρίνοντα φρένας.)
ἄνστασιν ὑμνείειν τινὶ σὺν πειρήσομ' ἀοιδῇ,
  ἀρχὴ τῆς δ' ἑκτὴ εἴη ἄρ' ἥδε τεΐν.
ἦμος δειελινὴ προεορτίου ἤματος ὥρη
  ἵκετο, καὶ δνοφερὸν τὸ κνέφας ἐγγὺς ἔην:
τῆμος ἄρ' ὑψιτενὴς ξὺν νυκτολόχοισιν Ἰησοῦς
  λῃσταῖς, σταυρῷ πρὸς δέμας εἷο δέθη.
γευσάμενός τε πότου τοῦ ὄξεος οὐ γλυκεροῖο,
  πνεῦμα πατρὸς γενέτου χεῖρας ἔθηκεν ἐόν.
αὐτὰρ Ἰουδαῖοι ἵνα μὴ ἐνὶ σαββάτῳ ἱερῷ
  ἤματ', ἐπὶ σταυρῶν σώματα νεκρὰ μένῃ,
καὶ προσελθόντες κραιπνοῖσι τὸν ἡγεμονῆα,
  κλασθῆν αἰτοῦσι σφῶν παραχρῆμα σκέλη.
κἆτα πρὸ τῆς νυκτὸς ξιασῶν ἀρθῆν ἀπὸ δούρων,
  ὡς ὁ θεόρρητός σφιν προσέταξε νόμος.
τὸ ξυγχωρήσας στρατιώτας κεῖνος ἰάλλε,
  οἵ κε τελέσσειαν τοῦτο τὸ ἔργον, ἐοῦς.

οὗτοι

οὗτοι ἄρ' ἐρχόμενοι τοῖν ἀμφοῖν ὀσέα λῃσαῖν
ἡμιθανοῖν, χαλκῷ ὀκρυόεντι λύον.
νεκρὸν δὲ χριστὸν τὸν ἰησοῦν ἔμμεν ὁρῶντες,
οὐδὲν τῶν ὀστῶν καὐτῷ ἔαξαν ἐῶν.
ἀλλ' εἷς ὠμότερος καὶ λυσσωδέστερος ἄλλων
τὴν αὐτοῦ πλευρὴν ἔγχεϊ νύσσε ἀνήρ.
ἥ ῥα ἀνοιγομένη ἀνέβλυσε φοίνιον αἷμα,
χ' ὡς τινὸς ἐκ κρήνης, ὑδροειδὲς ὕδωρ.
εἶτα δέ τις θεόφρων καὶ ἀνὴρ πλούσιος ἰωσὴφ,
πρὸς τὴν κοιρανίην τὸν διέποντα μολὼν
καί μιν προσπτύξας αἰτήσε, νεκρὸν ἰησοῦ
μὴ φθονέειν αὐτῷ γῆν ὑπὸ σῶμα θέμεν.
ῥεῖα τυχὼν ὀθόναις εἰλυμένον, οὐκ ὀλίγοισ τε
πασθὲν ἀρώμασ', ἄφαρ ἐν τῷ τίθησι τάφῳ
ὅς τινι ἐν κήπῳ ὤρυκτό γε δενδρεοπύκνῳ,
πετρήεις, καινός, καὶ νεότευκτος ἐών.
τῇ δ' ἐπιούσῃ ὅμως φαρισαῖοι ἔσαῦθι δικασὴν
τοίοις ἱκνεῦνται χέτλιον ἄνδρα λόγοις.
μνήσθημεν φίλε κύρι' ἀνὴρ πλάνος οὗτος ὅτ' εἶπεν,
ἔσθ' ὅτ', ἔτι ζωὸς καὶ μὴ ἄλωτος ἐών
καί περ νεκρωθεὶς ἀφ' ὑμῶν ἀνστήσομαι αὖθις,
σῶν τ' ἠοῖ γαίης τῇ τρίτῃ ἔσομ' ὕπερ.
τοὔνεχ' ὁμηγερέες σ' ἱκετεύομεν ὄρχαμε λαοῦ
κυδρέ, φυλακτῆρας πεμπέμεν εὐθὺ πρὸς.
οἵ κε φρουρῶσι τρίτου ἤματος ἄχρι τὸ μνῆμα,
τοῦ νῦν ἧς ψυχῆς κεῖτ' ἔνι δευόμενος.
μήποτε οἱ κείνου λάθρῃ ἐκλέψωσι μαθηταὶ,
ἐξ ἀφρουρήτου σφῆσι χέρεσσι τάφου.
φῶσί τε κλεψάμενοι τῆς γῆς προλιπόντα τὸ κλεῖθρον,
ἐκ θεοῦ ἀθανάτου τὸν δὲ βίοιο τυχεῖν.

χ' οὕτως ὑστατίη καὶ δευτάτη ἤδε χορείων
τῆς προτέρης, ἀνὰ τοῦτ' ἄστυ γένοιτο πλάνη.
ὡς ἤπευν. πρᾶγμα φέρων σφισὶν ἦραδε κεῖνος,
τὴν φρουρὴν ἐπὶ τὸν τύμβον ἀνώγειμεν.
οἱ δὲ λίθον σφρηγισάμενοι, περὶ μνῆματ' ἐκείνην
στήσαντες, τηρεῖν πὰρ τὸ διδοῦσιν ἑοί.
αὐτὰρ ὁ τυμβευθεὶς πρὶν βήμεναι ἐς διὸς ἦω
τὸ τρίτον, ἐκ γαίης ζωὸς ἐγείρετ' ἑῶν.
οὔτ' ἀποκυλίσας τὸν λᾶαν ὕπερθε τεθέντα,
οὔτε σφρηγῖδος σῆμ' ἀπὸ πρόσθεν ἑλών.
ἀλλὰ φυλακτῆράς τε λαθών, κλεισθέντα τε πάντα
πρὸς τῶν ἑβραίων ὡς ἐκέκλειστο, λιπών
ἠοῦς δ' ἐγρομένης ῥοδοδακτύλου, εὐπλοκάμου τε,
αὖτις ζείδωρον γαῖαν ἐπικιδναμένης:
ἠνίδε κινυμένης σεισμὸς τάχα γίγνεται αἴης
σφοδρὸς, κἀφνίδιος δόνει ἅπαντα σάλος.
καὶ τις ἀπ' οὐρανόθεν καταΐσσει ἄγγελος, ὄψιν
εἰδομένην στεροπῇ, καὶ χιὸν εἷμα λαχών.
οὗτος λαξευτοῦ τὸ κάλυμμ' ἀπὸ μνήματος ἄρας,
ἕδρανον οἱ ποιεῖ ἠδὲ θόωκον ἔμεν.
οἱ δὲ φυλακτῆρες δειδισσόμεν' ἠΰτε νεκροὶ
κεῖνται, κ' ἠνορέης μνῶνται ἔτ' οὐδεμιῆς.
κἄχατον ἀνστάμενοι ἄψορροι ἐκεῖθεν ἐλαφροῖς
δείμασι, εἰς ἱερὴν ποσὶ τρέχουσι πόλιν.
ἀγγελίην σεισμοῦ τοῖς ἀρχιερεῦσι φέροντες,
τῶν τ' ἄλλων, περὶ τὸ μνῆμ' ὅσα γένετο τέως.
οἱ δὲ τρανῆ πορέμεν τὰ λέγοντο, καὶ ἰχέμεν οὕτω
γνόντες, καὶ σφετέραις ἐν φρεσὶ ἐπιστάμενοι:
ἄργυρον οὐκ ὀλίγον σφὶν ὅμως δόσαν, ἀνδράσιν
φθέγγειν ψευδαλέῃ γήρυϊ τοῖον ἔπος. (ἄλλοις

ἡμῶν

ἡμῶν κνωσσόντων οἱ ἔνδεχ' ὀπηδοὶ ἐκείνου
    ἀπροϊδῶσ' αὐτὸν νυκτὸς ἀωρὶ κλάπτειν.
ὡς δὲ προσελθούσας μιν ἀλειφέμεναι ἦρι γυναῖκας,
    τούτῳ καὶ αὐτὰς φάσματ' ἐφ' εἷλε φόβος :
τότ' ἄρα μειλιχίως νεανίσκος ὅσπερ οὐρανόφοιτος
    ἐκ στόματος τοίην οὐ βροτέοιο ἵει.
μὴ τάρβευς ὔμμιν μελέτω τινός. οἶδα γὰρ ὧδε
    ζητεῖτ' ἐν νεκροῖς ζῶνθ' ὅτι χριστὸν ἀεί.
ἀλλ' οὐ παρ τούτοις εὑρήσετε. ἦ γὰρ ἀνέστη
    ὡς ἀναστήσεσθαι αὐτὲ πρὶν ὔμμιν ἔφη.
ἀλλ' ἄρα πορευθεῖσαι τοῖς αὐτοῦ ἐρεῖτε μαθηταῖς,
    καὶ πέτρῳ, ζώειν δ' μήτορα τόνδε μόρου.
καὶ τὴν εἰς γαλιλαίαν ὑμῖν ὁδὸν ἡγεμονεύσειν,
    μέλλεθ' ὅπη σφετέροις ὄμμασιν αὐτὸν ὁρᾶν.
τῆσιν δ' οἷο δ' ἐπειγομένῃσ' οἴκονδε νέεσθαι,
    αὐτὸς κηπουρῷ ἄντεθ' ὁδ' εἰδόμενος.
καί σφι τὰ αὐτὰ λέγων ἅτ' ἀγλαὸς ἤπυε κοῦρος,
    οἴκαθ' ἀδελφοῖσιν τοῖς ἔθ' ἀνώγει ἐρεῦν.
οἱ δὲ κατηφείῃ βεβολημένοι ἅτ' ὀρφανὰ τέκνα,
    ἔνδοθ' ἐϋκλείστου τλήμονες ἦντο δόμου.
οἰόμενοι θανάτῳ δεδμημένον ἀνδρολετῆρι,
    μηκέτι τὸν χριστὸν ζησέμεναι, ὡς τὸ πάρος.
μήτ' ἰσραήλου σωτῆρ' ἴφθιμον ἔσεσθαι,
    ὥσπερ ἐώλπεισαν μελλέμεναι αὐτὸν ἔμεν.
τοὔνεκ' ἀπίστευσιν λήρειν αὐτοῖσι γυναῖκες
    φαίνοντ', ἀνστῆναι αἵ μιν ἐσαῦθις ἔφαν.
οὔθ' οἱ ἐπὶ κλάσει τῶν ἄρτων γνόντες ἐκεῖνον,
    ἐν κώμῃ, δόκεον σφίσιν ἐτήτυμ' ἐρεῖν
πῶς; οἱ αὐτῆμαρ πρὸς σφᾶς ἐλθόντα μιν εἶπον
    σφῶν ἰνδαλλόμενον φάσματι ὄμμασ' ἔμεν.

οὔτ' ἂν ἐπείθησαν νιν ἀληθῶς ἔμμεν ἐκεῖνον,
ὃς πρὸς ἰουδαίων νυκτὸς ἀωρὶ δέθη·
αὐσονίου τ' ἀδίκως καθ' ὕπαι κεκριμένος ἀνδρὸς
κάτθανε πρὸς σταυρῷ ξυλὼ φονέεσι παγείς
εἰ μὴ τῶν γόμφων τύπον ἐν χερσίν τε ποσίν τε
καὐτὴν τὴν πλευρὴν σφίσιν ἔδειξεν ἑήν.
οὔτε μόνον δρακέειν ἀριδείκετα σήματα ταῦτα,
ἀλλὰ καὶ ἁφῇ πεῖραν σφῶν ἐκέλευσε λαβεῖν.
ἐξ οὗ κε γνοῖεν μὴ πνεῦμ' ἔστ', τὸ ἄμμορον ὀστῶν
πάμπαν, καὶ κρεάτων, ὅστιν ἄμικτον, ἔμεν.
ἀνθρωπινὸν δ' ἐπεῶς οἷόν τε φαγεῖν τε πιεῖν τε,
χρηΐζοντα τροφῆς καί ποτ' ἔτ' οὐδεμιῆς.
ὦ φρενὸς ἀπιστίης τῆς ἀνδρομένῃσιν ἐναύλου,
δεινοτάτης τ' ἄτης, ἠδ' ἀφάτοιο κακοῦ.
ἥτις καὶ ὑμέας νῦν ἐξαλάωσεν ἅπαντας,
ὦ μέλεοι, χριστοῦ ἀκροαταὶ ἠδὲ φίλοι.
ὥστ' ἐπιλήσασθαι πάντων, τῶν πολλάκις ὔμμιν
λεχθέντων, περὶ τῶνδ' ὧδ' ἀποβησομένων.
οὐχὶ τὸν ἀνθρώπου υἱ' ἔσθ' ὅτ' ἐς αἶαν ἱκέσθαι
ξύμπασαν ἀνθρωπίνης φῦσιν ὑπηρετέειν;
λύτρον τε ψυχὴν ἣν πολλῶν ἀντιπορίζειν,
τῶν λυθησομένων τοῦ ὀλέθροιο βροτῶν;
οὐχὶ πόλιν μεθ' ὑμῶν ἀναβαίνων ἔσθ' ὅτ' ἐς ἱρὴν,
τοῖα θεοφράστῳ θέσφατ' ἔνισπεν ὀπί;
ἥνιδε πρὸς σολύμων ἱερῶν τὸ φερώνυμον ἄστυ
ποσὶν ὁδεύοντες στείχομεν εὐτροχάλοις.
ἔνθα γὰρ ἀνθρώπου τετελεσμένα ἠεὶ ἔσται
πάντα, τὰ οἱ πρόπαλαι θέσκελοι ἄνδρες ἔφαν
ὅττ' ἀποριτμήτοις ὑποχείριος ἔθνεος, ἔκηλος
τλήσετ' ἐπηρείην, ὕβριν, ὀνείδε', ἄχη.

ἥν τε ἀεικισθεὶς πτυέλοισί τ᾽ αἰκίσμασί τ᾽ ὄψιν,
ἀλλάξει στυγερὸν τοῦ βιότοιο μόρον.
τῷ δὲ τρίτῳ ἐκ γαίης ἀνορούσομαι ἤματι ἐσαῦθις
ζωὸς, καὶ θνητὸν μηκέτι σῶμα φορῶν.
οὐχὶ δ᾽ ἰουδαίοις ὑμέων περὶ φάσκε προόντων,
τῶν προβάτων ποιμὴν αὐτὸς ὁ καλὸς ἐμὲν·
χ᾽ ἣν τιθέμεν ψυχὴν σφείων ὕπερ, ὄφρα μιν αὖθις,
εὖτ᾽ ἂν ἑοὶ δοκέῃ τήνδε λαβεῖν, κε λάβῃ·
κοὐδένα νιν κλέπτειν λάθρῃ οἱ βίῃ ἀφαιρεῖν,
αὐτὰρ ἀφ᾽ εἷ᾽ αὐτὸν τήνδ᾽ ἐθέλοντα τιθεῖν.
καὶ γὰρ θεῖν αὐτὴν οἷόν τ᾽ ἔμεν, αὖ τε λαβεῖν τε,
τοί ἐθ᾽ ἐφημοσύνῃ ἀϊδίοιο πατρός.
οὐχὶ δὲ κἂν δείπνῳ οὐκ ὀρφανὰ τέκνι᾽ ἀφήσω
καί περ ἀπερχόμενος, τλήμονας, εἶπεν, ὑμᾶς·
αὐτὰρ νοστήσας δ᾽ εὐθὺς οὐ μετὰ πολὺν, ἰδέαις
ὔμμι παραστήσω ζωὸν ἐμ᾽ αὖθι, χρόνον,
ταῦτ᾽ ἄρα καὶ τούτοις ἔτ᾽ ἀλίγκια πλείονα πολλῷ,
ἧς πέρ ὑμῖν δῆλοις θέσπισεν ἀνστασίης.
τῶν ἐπιλησάμενοι πάντων, κενεόφρονι θυμῷ.
ξυνῷ δ᾽ μηθῆναι τόνδ᾽ οἴεσθε μόρῳ.
αὐτῶν μωρότεροι καὶ τυφλότεροι ἀρχιερήων,
ἔχθιστος πάντων τοῖσιν ἐκεῖνος ἔην.
οὗτοι γὰρ μύθου μνήσθησαν ἔθ᾽. ὅν ποτ᾽ ἔειπε,
λύσατ᾽, ἐρῶν, ναὸν τοῦτον, εἰ ὔμμι δοκεῖ.
καὶ τρισὶν οἰκοδομῶν ἐγερῶ μιν ἐν ἤμασιν αὖθις
καινὸν, ὁλόκληρόν θ᾽ ὡς τὸ πάροιθεν ἔην.
καὶ διὰ τοῦτο κριτὴν προσιόντες ὁμῶς. ὀχυροῦσθαι
ἀνδράσιν ᾔτησαν τοῖς ἐνόπλοισι τάφον.
ἀλλὰ τί ἐγκαλέω βροτέοντι πεπονθόσιν ὔμμιν,
οὐδ᾽ ἴχ᾽ ἀπιστίης δύσταλας αὐτὸς ἐών·

κάρτα τ' ἔχων χρείην θεὸν ἠνεκὲς ὧδε λίσασθαι,
πιστεύω, πίστιν χραῖσμε δ' ἔχοντ' ὀλίγην,
χραῖσμε, καὶ ἀσθενίῃ τῇ ἐμῇ θεὸς ἴσθι βοηθός,
τήν τε μικρὴν μεγάλην ποίει πίστιν ἐμήν.
τὺ δὲ βροτῶν φίλε ῥῦσα, θεοῦ υἱ' αἰὲν ἐόντος,
ὄντως ἐκ χθονίων ἄνθορες αὖτε μυχῶν.
τὴν τε σέθεν ψυχὴν ἔλαβες πάλιν, ὥσπερ ἔθηκας,
μοιράων δαμάτωρ, καὶ θανάτοιο φονεύς.
ἄμμε τεὴν πιστεύοντ' ἀλιτήρια φῦλά περ ὄντας,
ἤγαγες ἐκ ζοφερῶν τοῦ ἀΐδαο δόμων.
οὐρανὸν ἄμμι διδοὺς ἀντ' αὐτῶν ναιέμεν εὐρύν,
καὶ βίον ἀντὶ μόρου τοῦδ' ἐν ἄληκτον ἔχειν,
τήν τε ἁμαρτοσύνην ἄρρηκτον ἀπώλεσας ἄτην.
τῆς νήριθμα πάρος φῦλ' ὑπὸ ὄλοντο βροτῶν.
ἀντὶ δικαιοσύνην τ' ἐχαρίσαο, εὐνομίην τε
τῆς δ' ἀδίκοις ἡμῖν οὔσ' ἀνόμοισί τε, τεήν,
καὶ τὸν τοῖς μερόπεσσ' ἐδάμασσας δαίμον' ἀπεχθῆ,
καὶ πάσης δύσνουν πρόξενον ἀμπλακίης.
ᾗ τε πέποιθε, βίην δ' μηθέντι ἅπασαν ἀφεῖλες,
ὥστε μιν ἀδρανέειν νῦν, καὶ ἄκικυν ἔμεν.
μήθ' οἷόν τ' αἰνῶς σίνεσθ' ἔτι, ὡς τὸ πάροσπερ,
κεὶς ὄλεθρον ψυχὰς ῥιπτέμεν ἀνδρομέας.
πρός τε τὸ ἔχθρ' ἔρξαι θεῷ, αἰσυλά τ' ἔργματ' ὀρίνειν,
καὶ τῇ ἀτασθαλίῃ ὥστε περὶ ἦρα φέρειν.
τὴν ἂρ αἰγυπτίης ἐξήγαγες ἡμέας αἴης,
χ' ἡμετέρας πολλοῦ σῇ λύσας ἀλκὶ χέρας.
καὶ τοῖς πρωτοτόκοις λυγρὰς ἐπὶ κῆρας ἰάλλων,
δυστήνου πλήσας δώμαθ' ἅπαντα γόου.
μούνων φειδόμενος τῶν αἵματι αἱ φλιαὶ ἔχρισθεν.
τοῦ σέθεν, ἀνδρομέου λύτρῳ ἐόντι μόρου.

καὶ

καὶ διατμηξάμενος τὸν ἀγάστονον ἄνδιχα πόντον,
    ἀσκηθῆ κόμισας σὸν διὰ τοῦδε λεών.
τόντ' ἐπιθέσθ' ὄπιθεν μεμαῶτα τύραννον ἐκείνῳ,
    οἷσιν ὑπερβρύχιον σὺν λογάδεσσι κάνες.
μήθ' ἓν ὑπεκφυγέειν κατακλυσμὸν ἔασσας ἀπευπτον,
    αὐτὰρ ἅπαντας ἁλὸς κύμασσ' ὄλεσσας ὁμῶς.
καὶ σὸν ἀμαιμακέτῳ ἐρρύσαο κάρτεϊ λαὸν,
    τῶν ἀφ' οἱ ἐσσυμένων δηιότητα φέρειν
τῶν ὁ ῥηξήνωρ καὶ ἀρήιος ἐσσὶ Ἰησοῦς,
    οὐ μὴ ἔχων γενέτην θνητὸν μὲν, ἀλλὰ θεόν,
ὃς τὴν εὐκταίην ἡγήσω ἐς αἶαν ἀγούσης,
    τοῖσι τοῦ Ἰσακίδου ἐκγεγαῶσιν, ὁδοῦ.
κἀστήσας κρατεροῖς βασιλεῦσιν φύλοπιν αἰνήν,
    κτήτορες οἳ κείνης ὄλβῳ ἀγάκλυτ' ἔσαν.
καὶ σφέας ἠνορέῃ δαμάσσας τῇ, εἰς κλυτοπώλου
    πέμψας ἀνοστήτους τοῦ αἴδαο δόμους·
καὶ γὰρ τὸν θάνατον θανατωθεὶς αὖ θανάτωσας,
    τόντ' ὀλετῆρα βροτῶν ὤλεσας ἰῷ μόρον.
καὶ σατανᾶν θῆρα ψυχοκτόνον ἀγριόθυμον
    χειρώσας, βροτέων τ' ἠπεροπῆα φρενῶν.
καὶ μεγαλαύχῳ ὅλου τοῦ κόσμου κοιράνῳ ὄντι,
    κοιρανίην δυνάμει θείῃ ἀπούρας ἑήν.
καὶ ζωῆς μετόχους ἡμᾶς ποιήσας ἐκείνης,
    τῆς εὐδαιμονίης πάντ' ἔνι μεστὰ πέλει.
ξύν τε γάλακτι μέλι γλυκὺ νάμαθ' ἅπαντ' ἀναβλύζει,
    ἄφθονά τ' αὐτόματα πάντα ἡ αἶα φύει,
πρὸς τοῖσδ' ἰσαίδης οἴων ἐπίουρος ἀγραύλων
    κεῖνος, ὁ ἡλικίην βαιὸς, ἔησκεν, ἐών,
θῆρας ὃς ὠμοβόρους ἄρκτον τε λέοντά τ' ἔπεφνε,
    ἁρπάζοντας ὃ δ' ἄξ' ἔσθ' ὅτε μῆλον ἑοί.

καὶ

καὶ πάλιν ἐκ βρόχθοι᾽ αἰνῶν τόδ᾽ ἔρυσε πελώρων,
  τῆ τε ἐριθενίῃ ἧς ἐσάωσε χορός.
τόν τε φόβου γολιὰθ μήστωρ᾽ ἀνυπόστατον ἀλκὴν
  σφενδονίσας, πρώτῃ θυμὸν ἀφεῖλε βολῇ.
καὶ τὴν δυσκλείην τοῖς ἤασιν ἰσακίδαο
  νίκῃ ἀνελπίστῳ σώων γ᾽ ἀπέτριψε θεῷ.
τῶνκ δ᾽ αὖ κεῖνος ἠεἴκοστε λέγοιο τ᾽ ἰωνᾶς,
  κῆτος ὃν εἰνάλιον περὶ στόματ᾽ ἔλλαβ᾽ ἔσω.
καὶ ζῶνθ᾽ ἧς γαστρὸς κατέκρυψε τριήμερον ἔνδον,
  κἀββαλεῖν εἰς τὸ φόως τῆσδ᾽ ἄφ᾽ ἕηκε πάλιν.
στὲ στόμα γὰρ κοίλης ἀχανὲς ῥοιβδήσατο γαίης.
  ἡνίκα λαΐνεον χρείαθ᾽ ὑπὸ τύμβον ἔδυς.
ζωόντ᾽ εἰς αὔρας ἄφθαρτον ἀνῆκε τριταῖον,
  οὐδὲν ἔτ᾽ ἐν βροτέῃ θνητὸν ἔχοντα φυῇ.
πάντως δ᾽ ἀθάνατον, καὶ ἀγήραον ἤματα πάντα,
  καὶ καλὸν, ἐνδοξόντ᾽ ἀγλαΐης τε πλέον.
ἀρχεκάκου τ᾽ ὀλέτην ὄφεως, ἀΐδου τε, μόρου τε.
  ἄτηστ᾽ ἀργαλέης πᾶσιν ἁμαρτοσύνης.
ταῦτ᾽ ἀνὰ θυμὸν ἔχων καὶ ἀνὰ στόμα ὡς ἐπέοικεν,
  ὦ σῶτερ ψυχῆς χρυσὲ θεόβροτ᾽ ἐμῆς:
ὥς παῖς τὶς τραυλὸς φθέγγωσ᾽ ἐπινίκιον ὕμνον,
  ὡς δύναμ᾽, ὥς, τε δίδοις μοὶ χάριν, ἦρα φέρων.
τόν συ ἅδ᾽ εἶν σοὶ ἐῶν, σοὶ ἅδ᾽ εἶν περ ἀνάξιον ὄντα,
  δέχνυσο, ὦ δειλῶν μοῦνε λυτρωτὰ βροτῶν.
κἀμὲ τὸν οἰκεῖον φρενόθεν σέο στέργε κάσιν τε,
  καίπερ ἁμαρτιέων γλοιὸν ἐόντα πλέον.
στέργ᾽ ἄρα, καὶ περικῆρι φίλει, καθάπερ γε μαθητὰς
  ὄντας καὶ αὐτοὺς στέρξαο ἀσθενέας.
χ᾽ ὡς σφίσι συγγνώμην νεῖμας μετ᾽ ἐσαῦθι νοοῦσι,
  δεινῷ ἐπὶ σφετέρῃ πήματ᾽ ἀπιστοσύνῃ:

καὶ

καὶ τῆς ἀφραδέος διανοίης ὄμματ᾽ ἄνοιξας,
ὥστε συνεῖν ἱερὰς τοῖς, καλιδεῖν τε γραφάς.
ὣς κἀμοῖς πολλοῖς ἀλιτήμασιν ἵλαος ἴσθι,
καὶ σύνεσιν λογίων σῶν μοι ἀφραδέοντι δίδου.
καὶ τὴν πίστιν ἀέξ᾽ ἀσεμφέα ἦμαρ ἐπ᾽ ἦμαρ,
τῇ ῥύσιν ψυχῆς σ᾽ ὄντα κεμάρψω ἐμῆς.
εἰ καὶ μὴ βλέψας, πιστεύων πρόφρονι θυμῷ
τῆς τε διδασκαλίης ἀντισέθ᾽ ἰχόμενος
εἶναι γὰρ μάκαρας τοὺς μὴ ὁρώοντας ἔφησθα,
καὶ πιστεύοντας σφῇς ἐνὶ φρεσὶν ὅμως.

Τέλος.

Δόξα τῷ θεῷ.

## Σφάλματα γραφικὰ quæ lector sic corrigat.

Pag. 1. A pro Adiecta lege adiectis. Pag. 4. A linea 6. pro futura l. futuræ. Pag. 6. A κεφα. α. uer. 4. pro βάζυ lege βάζει. Pag. 7. A. uer. 4. pro ἀγαλλείτων l. ἀγακλείτων. Pag. 8. A uer. 4. pro ἀπείρον lege ἄπειρον. Pag. 8. A. κεφα. β. uer. 1. pro ἔναι lege εἶναι. Ver. 8. pro ἐώρακ l. ἑώρακ. Pag. 8. A uer. 27. pro ἐτοιμασάμην l. ἑτοιμασάμην. Pag. 5. B κεφαλ. δ. uer. 2. pro ἄλλο l. ἄλλα. Ver. 9. pro ὠπέρτεροι l. ὑπέρτεροι. Pag. 6. B. uer. 18. pro ματεότερον l. ματαιότερον. Pag. 6. B. uer. 25 pro πενηχρὸς l. πενιχρὸς. Pag. 7. B. κεφαλ. ε. uer. 12. pro ἐπαλυσέμεναι l. ἐπακυσέμεναι. Pag. 8. B. uer. 29. pro μινονθάδιον l. μινυνθάδιον. Pag. 1. Γ. uer. 7. pro λελογχὼ. l λελογχὼς. Pag. 1. Γ. κεφαλ. 5. uer. 12. pro ἐναυκότατον l. ἐναυλότατον. Ver. 12. pro πομέας l. πολέας. Pag. 3. Γ. κεφαλ. ζ. uer. 21. pro ἔδορα l. ἔδοξα. Pag. 6. Γ. uer. 1. κεφαλ. κ. pro μεταλλῆν l. μεταλλᾷν. Pag. 8. Γ. κεφαλ. ι. uer. 1. pro πημα l. πῆμα. Ver. 27. pro ὥμως l. ὅμως. Pag. 1. Δ. κεφαλ. ια. uer. 3. pro καὶ τόνδε l. γὰρ τόνδε. Pag. 2. Δ. κεφαλ. ιβ. uer. 19. pro ἀγυῶν l. ἀγυιῶν. Pag. 4. Δ. εις τα γενεθλια &c. uer. 6. pro ἀψαύσοι l. ἀψαύσοι. Versu 14. pro χορίον l. χωρίον. Pag. 7. Δ. εἰς τὰ σαυρωτήρια &c. uersu 25. pro χαβόντες lege λαβόντες.

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Psalterium Dauidis à P. Dolscio versibus græcis redditum.

Th 5854

UNIVERSITÄTS-BIBLIOTHEK PADERBORN